quidpiam. et quum eius notionem ostendere volunt, primum quidem inter se dissident, deinde etiam stulta dicunt. 23. nam Democritus ait hominem esse quod omnes scimus; secundum quae verba non cognoscemus hominem, quia et canem scimus, et ideo sequeretur etiam canem esse hominem. sunt etiam aliqui homines quos non novimus, propterea non erunt homines, imo vero secundum hanc notionem nullus erit homo. si enim ille dicit oportere ab omnibus hominem cognosci, nullus autem est homo omnibus hominibus cognitus, nullus fuerit homo secundum illius sententiam. 24. atque haec a nobis non dici sophistice ex doctrina eius his consentanea manifestum est. nihil enim aliud vere esse dicit hic vir quam atomos et vacuum, quorum utrumque non animalibus solum sed omnibus concretis inesse ait. itaque ex his nequaquam perspicere hominis proprietatem possimus, quia sunt omnibus communia. sed neque aliud quicquam nobis se offert praeter haec. nihil ergo

ἔχει διερευνώμενος. idem in Phaedro p. 230 A οὐ δύναμαί πω κατὰ τὸ Δελφικὸν γράμμα γνῶναι ἐμαυτόν. γελοῖον δή μοι φαίνεται, τοῦτο ἔτι ἀγνοοῦντα τὰ ἀλλότρια σκοπεῖν – – σκοπῶ οὐ ταῦτα ἀλλ' ἐμαυτόν, εἴτε τι θηρίον τυγχάνω Τυφῶνος πολυπλοκώτερον, καὶ μᾶλλον ἐπιτεθυμμένον, εἴτε ἡμερώτερόν τε καὶ ἁπλούστερον ζῷον θείας τινὸς καὶ ἀτύφου μοίρας φύσει μετέχον. confer nostrum lib. 1 adversus Logicos sect. 264.

l) Δημόκριτος] idem de Democrito repetit noster laudato adversus Logicos loco, sect. 265 ubi dicta, si placet, vide.

m) ἐπεὶ καὶ κύνα ἴσμεν] putida vitilitigatio, neque enim verborum Democriti sensus est, quicquid novimus, esse hominem, sed hoc quod hominem esse homines ipsi scimus et sensu atque usu compertum habemus. similes cavillationes sunt quae statim sequuntur, ac si eum modo hominem Democritus affirmasset, quem de facie novimus, vel quem omnes norint homines. sed propemodum ipse agnoscit Sextus haec se modo obiecisse σοφιζόμενον, itaque aliud argumentum ex dogmate Democriti de atomis et vacuo subiungit. mox pro διὸ in mss est δι' ὅ. deinde post verba γινώσκεσθαι τὸν ἄνθρωπον in editis sequebatur haec uncinis inclusa, ἐπεὶ καὶ κύνα ἴσμεν, καὶ παρὰ τοῦτο ἔσται, quae e superioribus temere repetita in mss recte absunt, ideoque et a me fuere praetermissa.

[*]) legebatur τε]

n) μόνα γὰρ κατ' ἀλήθειαν] vide quae ad lib. 1 contra Logicos.

o) ἐπινοήσομεν] ita ex mss reposui pro ἐπινοήσωμεν et mox παρὰ ταῦτα pro περὶ ταῦτα, quod in editis erat.

διακρῖναί τε ἀπὸ τῶν ἄλλων ζῴων καὶ εἰλικρινῶς νοῆσαι δυνησόμεθα. ὁ δὲ Ἐπίκουρός φησιν ἄνθρωπον εἶναι τὸ τοιουτοῒ 25
μόρφωμα μετὰ ἐμψυχίας p). καὶ κατὰ τοῦτον δέ, ἐπεὶ ὁ ἄνθρωπος δείξει ἐμφανίζεται, ὁ μὴ δεικνύμενος οὐκ ἔστιν ἄνθρω- P 73
πος. καὶ εἰ μὲν γυναῖκα δείκνυσί τις, ὁ ἀνὴρ οὐκ ἔσται ἄνθρωπος· εἰ δὲ ἄνδρα, ἡ γυνὴ ἄνθρωπος οὐκ ἔσται. τὰ δὲ αὐτὰ ἐπιχειρήσομεν καὶ ἀπὸ τῆς διαφορᾶς τῶν περιστάσεων ἃς ἴσμεν ἐκ τοῦ τετάρτου τρόπου q) τῆς ἐποχῆς. ἄλλοι ἔφασκον r) ἄνθρω- 26
πον ζῷον εἶναι λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν. ἐπεὶ οὖν δείκνυται ἐν τῷ τρόπῳ τῆς ἐποχῆς τῷ πρώτῳ s) ὅτι οὐδέν ἐστιν ζῷον ἄλογον, ἀλλὰ καὶ νοῦ καὶ ἐπιστήμης δεκτικά ἐστι πάντα ὅσον ἐπὶ τοῖς ὑπ' αὐτῶν λεγομένοις, οὐ γνωσόμεθα
τί ποτε λέγουσι. τά τε κείμενα ἐν τῷ ὅρῳ συμβεβηκότα t) ἤτοι 27
κατ' ἐνέργειαν λέγουσιν ἢ δυνάμει. εἰ μὲν οὖν κατ' ἐνέργειαν, οὐκ ἔστιν ἄνθρωπος ὁ μὴ ἐπιστήμην ἤδη τελείαν ἀνειληφὼς καὶ ἐν τῷ λόγῳ τέλειος ὢν καὶ ἐν αὐτῷ τῷ ἀποθνήσκειν καθεστώς, τοῦτο γὰρ τῇ ἐνεργείᾳ θνητόν ἐστιν. εἰ δὲ δυνάμει, οὐκ ἔσται ἄνθρωπος οὔτε ὁ τὸν λόγον ἔχων τέλειον οὔτε ὁ νοῦν καὶ ἐπιστήμην ἀνειληφώς· καὶ τοῦτο δὲ τοῦ προτέρου ἐστὶν ἀτοπώ-

habebimus, per quod hominem distinguere ab aliis animalibus et pure intellectu percipere possimus. 25. Epicurus autem dicit hominem esse tali forma praeditum atque animatum. ergo secundum hunc quoque, quoniam homo ostendendo manifestatur, is qui non ostenditur, non est homo: et si quis vir mulierem ostendat, vir non erit homo; si autem virum ostendit mulier, mulier non erit homo. idem inferemus et ex diversitate circumstantiarum quas ex quarto epoches modo didicimus. 26. alii dicebant hominem esse animal rationale mortale intelligentiae et scientiae capax. quoniam igitur in primo epoches modo ostenditur nullum esse animal irrationale, sed et intelligentiae et scientiae capacia esse omnia secundum ea quae ipsi dicunt, iam quid sibi velint nesciemus. 27. deinde accidentia quae in definitione posita sunt, aut actu dicunt esse, aut potentia. si actu, is non est homo qui scientiam iam perfectam non est assequutus perfectamque rationem non habet et qui in ipsa morte non versatur, hoc enim est actu mortale. sin potentia dicunt esse, ergo is non erit homo nec qui rationem perfectam habet nec qui intelligentiam et scientiam adeptus est; quod priore etiam est absurdius.

---

p) τοιουτοῒ μόρφωμα μετὰ ἐμψυχίας] idem Epicuri refert noster lib. 1 contra Logicos, et Laertius 10 33, ex quo apparet Epicurum existimasse rem quam saepius sensibus cognitam habemus, facillime cognosci ex in- P 73
telligentiae illius insitae memoria atque anticipatione, nullamque orationem illustriorem reperiri posse hac evidentia, atque illam optimam esse rei descriptionem si monstrata illa nomen eius addas, hominesque v. g. obvio facto dicas τοιοῦτόν ἐστιν ἄνθρωπος, *tale quiddam homo est*. re ipsa hoc parum abit ab hominis definitione quam ex Democrito iam noster attulit, constatque Epicurum in aliis etiam multis vestigia illius philosophi legisse.

q) ἐκ τοῦ τετάρτου τρόπου] supra lib. 1 sect. 100 seq.

r) ἄλλοι ἔφασκον] est haec definitio hominis Stoicae probata scholae, licet occurrit etiam apud Peripateticos ut Ammonium in quinque voces Porphyrii p. 37 b.

s) ἐν τῷ τρόπῳ τῆς ἐποχῆς] supra lib. 1 sect. 62 seq.

t) συμβεβηκότα] alias adversus eandem hominis definitionem objectiones, vide si placet libro 1 adversus Logicos.

τερον. καὶ ταύτῃ ἄρα ἀσύστατος πέφηνεν ἡ ἐπίνοια τοῦ ἀνθρώ-
28 που· ὁ γὰρ Πλάτων [u]) ὅταν ἀξιοῖ τὸν ἄνθρωπον εἶναι ζῷον
ἄπτερον δίπουν πλατυώνυχον ἐπιστήμης πολιτικῆς δεκτικόν, οὐδὲ
αὐτὸς ἀξιοῖ διαβεβαιωτικῶς τοῦτο ἐκτίθεσθαι. εἰ γὰρ καὶ ὁ ἄν-
θρωπός ἕν τί ἐστιν τῶν κατ' αὐτὸν γινομένων μέν, ὄντως δὲ
οὐδέποτε ὄντων [x]), ἀδύνατον δὲ περὶ τῶν μηδέποτε ὄντων δια-
βεβαιωτικῶς ἀποφαίνεσθαι κατ' αὐτόν, οὐδὲ ὁ Πλάτων ἀξιώσει
τὸν ὅρον ἐκτίθεσθαι δοκεῖν ὡς διαβεβαιούμενος, ἀλλ' ὥσπερ
29 εἴωθεν κατὰ τὸ πιθανὸν λέγων. εἰ μέντοι καὶ δοίημεν κατὰ συγ-
χώρησιν ὅτι ἐπινοεῖσθαι δύναται [y]) ὁ ἄνθρωπος, ἀκατάληπτος
εὑρεθήσεται· συνέστηκε μὲν γὰρ ἐκ ψυχῆς καὶ σώματος· οὔτε
δὲ τὸ σῶμα καταλαμβάνεται τάχα [z]) οὔτε ἡ ψυχή· οὐδὲ ὁ ἄν-
30 θρωπος ἄρα. καὶ ὅτι μὲν τὸ σῶμα οὐ καταλαμβάνεται, δῆλον
ἐντεῦθεν· τὰ συμβεβηκότα τινὶ ἕτερά ἐστιν ἐκείνου ᾧ συμβέ-
βηκεν. ὅταν οὖν χρῶμα ἤ τι παραπλήσιον ἡμῖν ὑποπίπτῃ, τὰ
P 74 συμβεβηκότα τῷ σώματι εἰκὸς ἡμῖν ὑποπίπτειν, ἀλλ' οὐκ αὐτὸ
τὸ σῶμα. τό γέ τοι σῶμα τριχῇ διάστατον [a]) εἶναι λέγουσιν·
ὀφείλομεν οὖν τὸ μῆκος καὶ τὸ πλάτος καὶ τὸ βάθος καταλαμ-
βάνειν, ἵνα τὸ σῶμα καταλάβωμεν· εἰ γὰρ τοῦτο ἡμῖν ὑπέπι-
πτεν, ἐγινώσκομεν ἂν καὶ τὰ ὑπάργυρα χρυσία [b])· οὐδὲ τὸ σῶμα

quamobrem et hoc pacto nullam hominis notionem posse esse apparet. 28. nam Plato quum vult hominem esse animal carens pennis bipes latis unguibus scientiae politicae capax, ne ipse quidem vult hoc ponere asseveranter. nam si homo sit unum eorum quae secundum ipsum gignuntur quidem, vere autem nondum sunt, nullo modo autem potest de iis quae nondum sunt asseveranter aliquid pronuntiari, ut ipse ait; nimirum ne Plato quidem videri volet hanc definitionem tamquam asseverans tradidisse, sed ut solet, ad id quod verisimile est sermonem accommodasse. 29. verumtamen demus per concessionem posse hominem sub intellectum cadere, certe eum nequaquam posse comprehendi comperiemus, siquidem homo ex animo et corpore constat; at neque corpus comprehendi potest neque animus: ergo ne homo quidem. 30. ac corpus quidem non comprehendi hinc perspicuum est; quae accidunt alicui diversa sunt ab eo cui accidunt. quum itaque color aut aliquid huiusmodi nobis obversatur, ea modo quae corpori accidunt, non autem corpus ipsum nobis obversari, rationi consentaneum est. caeterum corpus tres habere dimensiones aiunt. debemus igitur longitudinem et latitudinem et profunditatem comprehendere, ut corpus comprehendamus. si vero haec sensibus nostris obversaretur, subargentatum etiam aurum cognosceremus. itaque ne

u) ὁ γὰρ Πλάτων] de hac Platonica hominis definitione ibidem et apud Laërtium 10 40. similis est apud Ammonium in quinque voces p. 39 ἄνθρωπός ἐστι ζῷον ὀρθοπεριπατητικὸν πλατυώνυχον.

x) γιγνομένων μέν, ὄντως δὲ οὐδέποτε ὄντων] est hoc Platonis dogma in Theaeteto p. 152 D ἔστι μὲν γὰρ οὐδέποτ' οὐδέν, ἀεὶ δὲ γίγνεται.

y) ὅτι ἐπινοεῖσθαι δύναται] de distinctione inter ἀνεπινόητον et ἀκατάληπτον iam dictum sect. 22.

z) τάχα] nota vocabulum Scepticum, quo utitur, ne quis existimet eum praefracte ac δογματικῶς negare, quod comprehendi nec corpus nec animum possit.

P 74 a) σῶμα τριχῇ διάστατον] infra lib. 3. sect. 39 et contra Geometras sect. 55.

b) τὰ ὑπάργυρα χρυσία] vel περίχρυσα τῶν χαλκῶν quorum meminit p. 192 adversus Logicos.

ἄρα. ἵνα δὲ καὶ τὴν περὶ τοῦ σώματος ἀμφισβήτησιν παρορῶ- 31
μεν, πάλιν ὁ ἄνθρωπος εὑρίσκεται ἀκατάληπτος διὰ τὸ ἀκατάληπτον εἶναι τὴν ψυχήν. ὅτι δὲ ἀκατάληπτός ἐστιν αὕτη δῆλον ἐντεῦθεν. τῶν περὶ ψυχῆς διαλαβόντων (ἵνα τὴν πολλὴν καὶ ἀνήνυτον c) μάχην παραλίπωμεν) οἱ μὲν μὴ εἶναι τὴν ψυχὴν ἔφασαν, ὡς οἱ περὶ τὸν Μεσσήνιον Δικαίαρχον d), οἱ δὲ εἶναι, οἱ δὲ ἐπέσχον. ταύτην οὖν τὴν διαφωνίαν e) εἰ μὲν ἀνεπίκριτον 32
εἶναι λέξουσιν οἱ δογματικοί, δώσουσιν αὐτόθεν τὴν τῆς ψυχῆς ἀκαταληψίαν, εἰ δὲ ἐπικριτήν, τίνι ἐπικρινοῦσιν αὐτὴν εἰπάτωσαν· αἰσθήσει μὲν γὰρ οὐ δύνανται διὰ τὸ νοητὴν ὑπ᾽ αὐτῶν εἶναι λέγεσθαι· εἰ δὲ λέξουσιν ὅτι διανοίᾳ, ἐροῦμεν ὅτι τῆς ψυχῆς τὸ ἀδηλότατόν ἐστιν ἡ διάνοια, ὡς δεικνύουσιν οἱ περὶ μὲν τῆς ὑπάρξεως τῆς ψυχῆς ὁμοφωνοῦντες, περὶ δὲ τῆς διανοίας διαφερόμενοι. εἰ δὲ τῇ διανοίᾳ τὴν ψυχὴν ἐθέλουσιν καταλαμ- 33
βάνειν καὶ τὴν περὶ αὐτῆς ἀδιαφωνίαν ἐπικρίνειν, τῷ μᾶλλον ζητουμένῳ τὸ ἧττον ζητούμενον ἐπικρίνειν τε καὶ βεβαιοῦν ἐθελήσουσιν, ὅπερ ἄτοπον. οὐδὲ τῇ διανοίᾳ τοίνυν ἐπικριθήσεται ἡ περὶ τῆς ψυχῆς διαφωνία· οὐδενὶ ἄρα. εἰ δὲ τοῦτο, καὶ ἀκατάληπτός ἐστιν. ὅθεν οὐδὲ ἄνθρωπος καταλαμβάνοιτ᾽ ἄν.
ἵνα δὲ καὶ δῶμεν ὅτι καταλαμβάνεται ὁ ἄνθρωπος, μήποτε οὐχ 34

corpus quidem comprehendi potest. 31. iam vero ut hanc quoque de corpore controversiam missam faciamus, rursum homo incomprehensibilis comperitur, quod incomprehensibilis sit anima. eam autem esse incomprehensibilem hinc patet. ex iis qui de anima disputaverunt (ut multiplicem et inexplicabilem eorum pugnam praetereamus) alii non esse animam (ex quibus fuit Dicaearchus Messenius) alii esse dixerunt alii vero assensum cohibuerunt. 32. hanc igitur controversiam siquidem indiiudicabilem esse dixerint Dogmatici, eo ipso concedent animae incomprehensibilitatem; sin diiudicabilem, quo eam diiudicaturi sint, dicant. sensu enim non possunt, quod eam intellectu percipiendam rationeque intelligendam contendant. sin eam intellectu diiudicatum iri responderint, in anima de nullo minus quam de intellectu constare dicemus, ut ostendunt ii qui de existentia quidem animae inter se consentiunt, at de intellectu in magna dissensione versantur. 33. si intellectu ergo animam volunt comprehendere et controversiam quae de ea est diiudicare, eo de quo maior est quaestio id diiudicare et confirmare de quo minor est quaestio volent; quod absurdum est. itaque ne per ratiocinationem quidem ea quae de anima est controversia diiudicabitur atque ita nihil erit quo diiudicetur. quod si ita est, incomprehensibilem dicamus necesse est. unde sequitur nec hominem comprehendi posse. 34. ut autem hoc quoque demus, hominem compre-

c) *πολλὴν καὶ ἀνήνυτον*] diversas veterum philosophorum de anima opiniones perstringunt Hermias in irrisione gentilium, Tertullianus de anima cap. 15, Cicero 1 Tusc. c. 9 seq. Ioannes Philoponus procemio ad Aristotelem de anima, Plutarchus de placitis lib. 4 cap. 2 seq. Stobaeus in Eclogis Phys. p. 93 seq. et noster lib. 1 contra Logicos.

d) *οἱ περὶ τὸν Μεσσήνιον Δικαίαρχον*] hic Dicaearchus Aristotelis discipulus, teste Cicerone 1 Tusc., cap. 10 et 22 contendit nihil esse omnino animum et hoc esse nomen totum inane, sed vim agendi latere in vivo corpore ita figurato, ut temperatione naturae vigeat et sentiat. confer Ciceronem in Lucullo c. 39 et 13 31 ad Atticum, Plutarchum contra Colotem p. 1215, Eusebium 15 9 Praeparat. evangel.

e) *ταύτην τὴν διαφωνίαν*] primus ex quinque modis argumentandi de quibus supra lib. 1 cap. 15.

ἐνδέχοιτο δεῖξαι, ὅτι ὑπ᾽ αὐτοῦ κρίνεσθαι δεῖ τὰ πράγματα· ὁ γὰρ λέγων ὅτι ὑπ᾽ ἀνθρώπου δεῖ κρίνεσθαι τὰ πράγματα, ἤτοι ἄνευ ἀποδείξεως f) τοῦτο λέξει ἢ μετὰ ἀποδείξεως. οὔτε δὲ μετὰ ἀποδείξεως· δεῖ γὰρ τὴν ἀπόδειξιν ἀληθῆ εἶναι καὶ κεκριμένην, διὰ δὲ τοῦτο καὶ ὑπό τινος κεκριμένην. ἐπεὶ οὖν οὐκ ἔχομεν εἰπεῖν ὁμολογουμένως ὑφ᾽ οὗ κριθῆναι δυνήσεται αὐτὴ
P 75 ἡ ἀπόδειξις (ζητοῦμεν γὰρ τὸ κριτήριον τὸ ὑφ᾽ οὗ), οὐ δυνησόμεθα τὴν ἀπόδειξιν ἐπικρίνειν, διὰ δὲ τοῦτο οὐδὲ τὸ κριτήριον
35 τὸ ὑφ᾽ οὗ περὶ οὗ ὁ λόγος ἀποδεικνύναι. εἰ δὲ ἀναποδείκτως ἐλεγχθήσεται ὅτι ὑπὸ τοῦ ἀνθρώπου δεῖ κριθῆναι τὰ πράγματα, ἄπιστον ἔσται, ὥστε οὐχ ἕξομεν διαβεβαιοῦσθαι ὅτι τὸ ὑφ᾽ οὗ κριτήριόν ἐστιν ὁ ἄνθρωπος. ὑπὸ τίνος δὲ καὶ κριθήσεται ὅτι τὸ ὑφ᾽ οὗ κριτήριον ὁ ἄνθρωπός ἐστιν (οὐ γὰρ δὴ ἀκρίτως τοῦτο λέγοντες πιστευθήσονται); ἀλλ᾽ εἰ μὲν ὑπ᾽ ἀνθρώπου, τὸ ζη-
36 τούμενον συναρπασθήσεται g). εἰ δ᾽ ὑπὸ ἑτέρου ζώου, πῶς ἐκεῖνο πρὸς τὴν κρίσιν τοῦ ἄνθρωπον εἶναι h) τὸ κριτήριον παραλαμβάνεται; εἰ μὲν γὰρ ἀκρίτως, οὐ πιστευθήσεται· εἰ δὲ μετὰ κρίσεως, πάλιν ἐκεῖνο [πρὸς τὴν κρίσιν i)] ὑπό τινος ὀφείλει κριθῆναι. ἀλλ᾽ εἰ μὲν ὑφ᾽ ἑαυτοῦ, μένει ἡ αὐτὴ ἀτοπία, τὸ ζητούμενον γὰρ διὰ τοῦ ζητουμένου κριθήσεται· εἰ δὲ ὑπὸ ἀνθρώπου, ὁ διάλληλος εἰσάγεται τρόπος· εἰ δ᾽ ὑπό τινος παρὰ ταῦτα ἄλλου, πάλιν ἐκείνου τὸ κριτήριον ἀπαιτήσομεν τὸ ὑφ᾽ οὗ, καὶ

hendi, at ab eo debere diiudicari res ostendi fortasse nulla ratione possit. qui enim ab homine res debere diiudicari dixerit, aut cum demonstratione aut sine ea hoc dicet. sed cum demonstratione hoc non poterit affirmare. oportet enim demonstrationem veram esse et indicatam, ideoque ab aliquo iudicatam; quum vero nullum confessum criterium habeamus a quo haec demonstratio iudicari possit; quaerimus enim iudicatorium a quo demonstrationem minime diiudicare, ideoque nec ipsum criterium a quo, de quo nunc agitur, demonstrare poterimus. 35. at si absque demonstratione dicetur ab homine res iudicari debere, hoc fide carebit, itaque affirmare hominem esse criterium a quo nequaquam poterimus. verum enimvero a quonam iudicari queat hominem esse illud indicatorium a quo? non enim qui hoc sine iudicatione dicent, fidem obtinebunt; at si dixerint ab homine, id ipsum quod in quaestione versatur arripietur. 36. sin ab alio animali, quomodo ipsum admittetur ad iudicandum hominem esse illud indicatorium? si enim sine iudicatione, fidem non impetrabit; sin cum iudicatione, illud rursum, ad iudicationem, ab aliquo iudicatum esse necesse est. et siquidem a se ipso, manet eadem absurditas; nam quod quaeritur iudicabitur per id quod quaeritur; sin ab homine, vitiosum argumenti genus probandi mutuo unum per alterum inducetur. quodsi ab alio aliquo praeter haec, rursum illius postulabimus cri-

f) ἤτοι ἄνευ ἀποδείξεως] argumentatio Scepticis frequens, ut dictum lib. 1 sect. 115.

P 75 g) τὸ ζητούμενον συναρπασθήσεται] etiam haec locutio nostro solennis, ut arguat vitium argumenti, quod petitionem principii vulgo appellant. infra sect. 57, 60, 67, 121 etc.

h) τοῦ ἄνθρωπον εἶναι] ita rectius mss pro eo quod erat in editis: τὸν ἄνθρωπον εἶναι.

i) πάλιν ἐκεῖνο πρὸς τὴν κρίσιν] verba πρὸς τὴν κρίσιν absunt in ms V et S, atque salvo sensu abesse possunt et ex superioribus repetita possunt videri. tamen nolui ea reiicere, quia in aliis codicibus exstant, atque signantius sententiam exprimunt.

μέχρις ἀπείρου· καὶ διὰ τοῦτο ἄρα οὐχ ἕξομεν λέγειν ὡς ὑπὸ ἀνθρώπου δεῖ κρίνεσθαι τὰ πράγματα. ἔστω δὲ καὶ πεπιστεύσθω 37
τὸ δεῖν ὑπὸ τοῦ ἀνθρώπου κρίνεσθαι τὰ πράγματα. οὐκοῦν ἐπεὶ πολλὴ τῶν ἀνθρώπων ἐστὶ διαφορά, πρότερον οἱ Δογματικοὶ συμφωνησάτωσαν ὅτι τῷδε τῷ ἀνθρώπῳ δεῖ προσέχειν, εἶθ᾽ οὕτω καὶ ἡμᾶς αὐτῷ θέσθαι[k]) κελευέτωσαν· εἰ δ᾽

ἔστ᾽ ἂν ὕδωρ[l]) τε νάῃ καὶ δένδρεα μακρὰ τεθήλῃ,

τοῦτο δὴ τὸ τοῦ λόγου, περὶ αὐτοῦ διαφωνήσουσι, πῶς ἡμᾶς ἐπείγουσι[m]) προπετῶς τινι συγκατατίθεσθαι; ἢν γὰρ καὶ λέγωσιν 38
ὅτι τῷ σοφῷ πιστευτέον, ἐρωτήσομεν αὐτοὺς ποίῳ σοφῷ, πότερον τῷ κατὰ Ἐπίκουρον ἢ τῷ κατὰ τοὺς Στωϊκοὺς ἢ τῷ Κυνικῷ· οὐχ ἕξουσι γὰρ συμφώνως εἰπεῖν. εἰ δὲ ἀξιώσει τις ἡμᾶς τῆς περὶ τοῦ 39
σοφοῦ ζητήσεως ἀποστάντας ἁπλῶς τῷ συνετωτέρῳ τῶν ὄντων ἁπάντων πιστεύειν, πρῶτον[n]) μὲν καὶ περὶ τοῦ τίς συνετώτερός ἐστι τῶν ἄλλων διαφωνήσουσιν. εἶτα κἂν δοίη[o]) συμφώνως P 76
δύνασθαι ληφθῆναι τίς ἐστι τῶν τε ὄντων καὶ τῶν γεγονότων συνετώτερος, οὐδ᾽ οὕτως ἔσται πίστεως οὗτος ἄξιος. ἐπεὶ γὰρ 40
πολλή καὶ σχεδὸν ἄπειρός ἐστιν ἐπίτασίς τε καὶ ἄνεσις κατὰ σύνεσιν, φαμὲν ὅτι τούτου τοῦ ἀνθρώπου ὃν λέγομεν εἶναι τῶν

terium a quo, atque ita usque ad infinitum; ideoque debere res ab homine iudicari dicere non poterimus. 37. sed tamen ita sit et ita credatur esse debere res ab homine iudicari. iam quoniam magna est hominum diversitas, prius inter se consentiant Dogmatici huius vel illius hominis sequendam esse sententiam, deinde nos quoque illi assentiri iubeant; verum si

donec lympha fluet, procera virebit et arbor,

ut in proverbio est, controversum hoc inter eos futurum est, qui fit ut nos procaciter ad certo cuipiam assentiendum urgeant? 38. nam si dicant credendum esse sapienti, interrogabimus eos quali sapienti, an ei qui sit sapiens secundum Epicurum, an qui secundum Stoicos, an ei qui sit Cynicus. at numquam in responsione inter se consentient 39. quodsi quis postulabit a nobis, ut missam facientes sapientis inquisitionem simpliciter ei qui prudentior aliis omnibus sit credamus, primum et de hoc quoque inter se dissentient, quisnam sit aliis prudentior; deinde etiamsi concedat aliquis communi consensu posse sumi, qui eos qui sunt quique fuerunt prudentia antecellat, ne sic quidem is fide dignus fuerit. 40. quoniam enim magna est et propemodum infinita intensio remissioque in prudentia, respondemus homine isto quidem quem et praeteritis et praesentibus prudentiorem dicimus fieri posse

k) αὐτῷ θέσθαι] pro συγκαταθέσθαι, συνθέσθαι, προσθέσθαι, συναινεῖν, assentiri, optimis usurpatum scriptoribus, Platoni, Synesio aliisque quorum loca pridem annotavit Budaeus.

l) ἔστ᾽ ἂν ὕδωρ] versus Homeri ex epitaphio Midae apud Herodotum in poëtae vita cap. 11. saepius usurpatus nostro ut 2 contra Logicos, ubi pro νάῃ legas ῥέῃ quemadmodum et in Herodoti codicibus, sed νάῃ habet etiam noster contra Grammaticos p. 6 et Libanius orat. 9 t. 2 p. 259. imitati Latini poëtae ut Tibullus lib. 1 4 60

— — dum robora tellus
dum caelum stellas, dum vehet amnis aquas.

Ovidius in Ibin 137

Robora dum montes, dum pabula mollia campi,
dum Tiberis flavas Tuscus habebit aquas.

m) ἐπείγουσι] mss Savil. ἐπάγουσι, minus bene.

n) πρῶτον] ita mss pro πρότερον quod erat in editis.

o) κἂν δοίη] *etiamsi largiatur*, ille scilicet de quo praecesserat, εἰ δὲ P 76
ἀξιώσει τις etc.

γεγονότων τε καὶ ὄντων συνετώτερον, ἕτερον συνετώτερον ἐν-
δέχεται γενέσθαι. ὥσπερ οὖν τῷ νῦν εἶναι λεγομένῳ φρονιμω-
τέρῳ τῶν τε ὄντων καὶ τῶν γεγονότων διὰ τὴν σύνεσιν αὐτοῦ
πιστεύειν ἀξιούμεθα, οὕτως καὶ τῷ μετ' αὐτὸν ἐσομένῳ τούτου
συνετωτέρῳ μᾶλλον τούτου χρὴ πιστεύειν. καὶ ἐκείνου γενομένου
πάλιν ἄλλον ἐλπίζειν χρὴ συνετώτερον αὐτοῦ γενήσεσθαι, κἀκεί-
41 νου ἄλλον, καὶ μέχρις ἀπείρου. καὶ ἄδηλον πότερόν ποτε συμ-
φωνήσουσιν ἀλλήλοις οὗτοι, ἢ διάφωνα λέξουσι. διόπερ κἂν τῶν
γεγονότων τε καὶ ὄντων συνετώτερος εἶναι ὁμολογηθῇ τις, ἐπεὶ
οὐκ ἔχομεν εἰπεῖν διαβεβαιωτικῶς ὅτι οὐδεὶς ἔσται τούτου ἀγ-
χινούστερος (ἄδηλον γάρ), ἀεὶ δεήσει τὴν τοῦ μετὰ ταῦτα ἐσο-
μένου συνετωτέρου κρίσιν περιμένειν καὶ μηδέποτε συγκατατί-
42 θεσθαι τῷ κρείττονι. ἵνα δὲ καὶ κατὰ συγχώρησιν δῶμεν ὅτι
οὐδεὶς τοῦ ὑποτιθεμένου συνετοῦ συνετώτερος οὔτε ἔστιν οὔτε
ἐγένετο οὔτε ἔσται, οὐδὲ ὣς[p]) πιστεύειν αὐτῷ προσήκει. ἐπεὶ
γὰρ μάλιστα οἱ συνετοὶ φιλοῦσιν ἐν τῇ τῶν πραγμάτων κατα-
σκευῇ τοῖς σαθροῖς παριστάμενοι πράγμασιν ὑγιῆ καὶ ἀληθῆ
ταῦτα δοκεῖν εἶναι καὶ ποιεῖν, ὅταν τι λέγῃ οὗτος ὁ ἀγχίνους,
οὐκ εἰσόμεθα πότερόν ποτε ὡς ἔχει τὸ πρᾶγμα φύσεως οὕτω
λέγει, ἢ ψεῦδος αὐτὸ[q]) ὑπάρχον ὡς ἀληθὲς παρίστησι, καὶ ἡμᾶς
πείθει φρονεῖν ὡς περὶ ἀληθοῦς, ἅτε δὴ συνετώτερος τῶν ἀν-
θρώπων ἁπάντων ὑπάρχων καὶ διὰ τοῦτο ὑφ' ἡμῶν ἐλέγχεσθαι
μὴ δυνάμενος. οὐδὲ τούτῳ τοίνυν συγκαταθησόμεθα ὡς ἀληθῶς
τὰ πράγματα κρίνοντι, διὰ τὸ οἴεσθαι μὲν αὐτὸν ἀληθῆ λέ-
γειν[r]), οἴεσθαι δ' ὅτι δι' ὑπερβολὴν ἀγχινοίας τὰ ψευδῆ τῶν
πραγμάτων ὡς ἀληθῆ βουλόμενος παριστᾶν, ἅ φησι, λέγει. διὰ

ut alius existat prudentior, quemadmodum igitur postulatur a nobis, ut illi qui nunc dicitur prudentior esse iis qui sunt et iis qui fuerunt fidem adhibeamus propter eius prudentiam, ita et illi qui post eum futurus est ipso prudentior, magis quam ipsi credendum erit; ac quum hic exstiterit, rursus alium eo prudentiorem fore sperandum est, et hoc ipso rursus alium, atque adeo usque in infinitum. 41. porro consensuri ne sint hi inter se an diversa ac pugnantiaondituri, minime constat. itaque etiamsi confessum fuerit esse aliquem omnibus qui sint et qui fuerint prudentiorem, quia asseverare non possumus nullum futurum esse eo prudentiorem (obscurum est enim), semper eius prudentioris qui postea futurus est iudicium exspectare, et numquam assentiri praestantiori oportebit. 42 verumtamen ut per concessionem demus, nullum esse nec fuisse nec futurum prudentiorem eo qui prudentissimus esse supponitur, ne sic quidem ipsi credere convenit; quoniam enim ii potissimum qui prudentes sunt, solent in astruendis rebus vitiosarum rerum defensionem sumentes facere ut illae sanae et verae videantur, quum aliquid hic solers dicet, nesciemus an ut res secundum naturam se habet exponat, an quod novit falsum esse, tamquam verum in medium proferat, nosque pro vero id habere iubeat, utpote qui prudentior omnibus sit hominibus et propterea nequaquam a nobis refelli possit. quamobrem nihilo magis huic tamquam vero rerum indici assensum praestabimus, quod eum quidem dicere vera esse, sed solertiae et ingenii exsuperantia res falsas tamquam veras exhibere vo-

---

p) οὐδὲ ὣς] ὣς pro οὕτως, ut apud Homerum ὣς εἰπών.

q) ἢ ψεῦδος αὐτὸ] sic legendum e mss non ut editi, αὐτῷ.

r) ἀληθῆ λέγειν] ita reposui iisdem mss auctoribus, cum editi haberent, ἀληθῆ εἶναι λέγειν.

ταῦτα μὲν οὖν οὐδὲ τῷ τῶν ἁπάντων ἀγχινουστάτῳ δοκοῦντι ὑπάρχειν ἐν τῇ κρίσει τῶν πραγμάτων χρὴ πιστεύειν. εἰ δέ φησί 43
τις ὅτι τῇ τῶν πολλῶν συμφωνίᾳ δεῖ προσέχειν [s]), λέξομεν ὅτι τοῦτ' ἔστι μάταιον· πρῶτον μὲν γὰρ σπάνιον ἴσως [t]) ἐστὶ τὸ ἀληθές, καὶ διὰ τοῦτο ἐνδέχεται ἕνα τῶν πολλῶν φρονιμώτερον εἶναι. εἶτα καὶ παντὶ κριτηρίῳ πλείους ἀντιδοξοῦσι τῶν κατ' P 77
αὐτὸ [u]) συμφωνούντων· οἱ γὰρ ὁποιονοῦν ἀπολιπόντες κριτήριον ἕτερον τοῦ συμφωνεῖσθαι δοκοῦντος παρά τισιν ἀντιδοξοῦσί τι αὐτῷ καὶ κατὰ πολὺ πλείους εἰσὶ τῶν περὶ αὐτοῦ συμφωνούντων. χωρὶς δὲ τούτων οἱ συμφωνοῦντες ἤτοι ἐν διαφόροις εἰσὶ 44
διαθέσεσιν [x]) ἢ ἐν μιᾷ· ἐν διαφόροις μὲν οὖν οὐδαμῶς ὅσον ἐπὶ τῷ λεγομένῳ — πῶς γὰρ ἂν τὰ αὐτὰ ἔλεγον περὶ αὐτοῦ; — εἰ δὲ ἐν μιᾷ, ἐπεὶ καὶ ὁ εἷς ὁ λέγων ἕτερόν τι μίαν ἔχει διάθεσιν, καὶ οὗτοι πάντες οἱ συμφωνοῦντες μίαν, ὅσον ἐπὶ ταῖς διαθέσεσιν αἷς προσέχομεν, οὐδὲ κατὰ πλῆθος εὑρίσκεται διαφορά τις [y]). διόπερ οὐ χρὴ τοῖς πολλοῖς προσέχειν μᾶλλον ἢ 45
τῷ ἑνί, πρὸς τῷ [z]) καὶ ἀκατάληπτον εἶναι, καθάπερ ἐν τῷ τετάρτῳ τρόπῳ [a]) τῆς σκέψεως ὑπεμνήσαμεν, τὴν κατὰ πλῆθος

lentem dicere quaecumque dicat, putemus. his igitur de causis ne ei quidem qui omnium videatur solertissimus adhibenda, in rerum iudicatione fides fuerit. 43. quodsi quis multorum consensui assentiendum esse dicat, vanum id esse respondebimus; primum enim rarum fortasse est verum, ideoque ut unicus multis sit prudentior fieri potest: deinde plures sunt qui contradicant cuivis criterio quam qui de eo inter se consentiant. qui enim qualecumque reliquerunt criterium diversum ab eo de quo videtur inter aliquos convenire, et ei alteri criterio contradicunt et multo plures sunt illis qui de eo consentiunt 44. praeterea vero qui consentiunt, aut diversimode sunt affecti aut uno modo; diversimode quidem certe non sunt, quantum ad id quod ab illis dicitur. — quomodo enim eadem de eodem dicerent? — quodsi uno eodemque modo, quoniam et is qui diversum aliquid dicit unam habet affectionem, et itidem ii omnes qui de eo consentiunt unam, quantum ad affectiones attinet quas sequimur ne in multitudine quidem ulla differentia reperitur. 45. itaque non oportet multos sequi potius quam unum, ut omittam incomprehensibilem esse iudiciorum in tanta multitudine differentiam, ut in quarto Scepseos modo

s) ὅτι τῇ τῶν πολλῶν συμφωνίᾳ χρὴ προσέχειν] sic iisdem mss; in editis articulus τῇ exciderat. deinde eodem sensu legebatur aliis verbis, δεῖ πιστεύειν. ut appareat hoc etiam exemplo quantum inter transcribendum librarii sibi indulserint, modo sententiam exprimerent.

t) ἴσως] vocabulum Scepticum, ne velut dogma statuere videretur, raro obvium verum esse. sic infra sect. 47 ἀκόλουθον μὲν ἦν ἴσως. et 56 οὐκ ἂν εἴη ἀληθὲς ἴσως etc.

u) κατ' αὐτὸ] scilicet κριτήριον. ita recte mss; male in editis αὐτῶν. P 77

x) ἐν διαφόροις διαθέσεσιν] confer librum 1 contra Logicos sect. 333 et lib. 2 sect. 53.

y) οὐδὲ κατὰ πλῆθος εὑρίσκεται διαφορά τις] sensus est, multitudinem illam hominum, quia similiter affecti sunt, non posse pro pluribus ac differentibus accipi, ac veluti plures aut aliter affecto opponi, sed pro uno homine accipiendam ob unam et eandem affectionem, h. e. idem praeiudicium, aut eandem sensuum vel temperaturae sanguinis aut affectuum constitutionem; haec enim omnia per διάθεσιν manere videtur; quatenus per illa homo ut ita vel aliter sentiat moveri se patitur.

z) πρὸς τῷ] ita malui ex mss quam πρὸς τὸ quod in editis erat.

a) ἐν τῷ τετάρτῳ τρόπῳ] supra lib. 1 sect. 100 seq.

διαφορὰν τῶν κρίσεων, ἀπείρων τῶν κατὰ μέρος ἀνθρώπων ὑπαρχόντων, καὶ ἡμῶν μὴ δυναμένων ἁπάντων αὐτῶν τὰς κρίσεις ἐπελθεῖν καὶ ἀποφήνασθαι τί μὲν οἱ πλείους τῶν ἀνθρώπων ἁπάντων ἀποφαίνονται τί δὲ οἱ ἐλάττους. καὶ κατὰ τοῦτο
46 οὖν ἄτοπος ἡ κατὰ τὸ πλῆθος πρόκρισις [b]) τῶν κρινάντων. εἰ δ' οὐδὲ τῷ πλήθει προσέξομεν, οὐχ εὑρήσομεν οὐδένα ὑφ' οὗ κριθήσεται τὰ πράγματα, καίτοι τοσαῦτα καὶ κατὰ [c]) συγχώρησιν διδόντες. διόπερ ἐξ ἁπάντων τούτων ἀκατάληπτον εὑρί-
47 σκεται τὸ κριτήριον, ὑφ' οὗ κριθήσεται τὰ πράγματα. συμπεριγραφομένων [d]) δὲ τούτῳ καὶ τῶν ἄλλων κριτηρίων, ἐπεὶ ἕκαστον αὐτῶν ἤτοι μέρος ἢ πάθος ἢ ἐνέργημά ἐστι τοῦ ἀνθρώπου, ἀκόλουθον μὲν ἦν ἴσως ἐπί τι τῶν ἑξῆς ἰέναι τῷ λόγῳ, ὡς καὶ περὶ ἐκείνων ἱκανῶς εἰρημένων [e]) ἐν τούτοις. ἵνα δὲ μηδὲ τὴν εἰδικὴν ὡς πρὸς ἕκαστον ἀντίρρησιν φεύγειν δοκῶμεν, ὀλίγα καὶ περὶ αὐτῶν ἐξ ἐπιμέτρου λέξομεν· πρότερον δὲ περὶ τοῦ κριτηρίου τοῦ δι' οὗ καλουμένου διαλεξόμεθα.

P 78

ΚΕΦ. ϛ'.

Περὶ τοῦ δι' οὗ.

48. Πολλὴ μὲν οὖν καὶ ἄπειρος σχεδὸν ἡ περὶ αὐτὸ γέγονε διαφωνία παρὰ τοῖς Δογματικοῖς· ἡμεῖς δὲ πάλιν τοῦ ἐμμεθόδου προνοούμενοι φαμὲν ὅτι, ἐπεὶ κατ' αὐτοὺς ἄνθρωπός ἐστι τὸ

docuimus, quippe quum infiniti sint homines si sigillatim sumantur, nec possimus omnium eorum iudicia percurrere atque ita demum pronuntiare, quid plurimi ex omnibus hominibus pronuntient et quid paucissimi. ergo et hac ratione absurdum fuerit iudices alios aliis, eo quod multitudine vincant, praeferre. 46. quodsi ne multitudinis quidem iudicio adhaerebimus, neminem a quo res iudicentur reperiemus, quum alioqui tam multa per concessionem demus. quamobrem ex his omnibus incomprehensibile comperitur esse criterium, a quo res iudicari debeant. 47. quum autem reliqua etiam criteria hoc includantur, quia eorum quodque aut pars aut passio aut actio est hominis, consentaneum fortasse fuisset nos orationem ad aliquid eorum de quibus postea dicturi sumus convertere, quippe quum de his abunde iam in praesenti dictum sit. sed ne particularem singulorum refutationem videamur refugere, pauca de his etiam ex abundanti dicemus. primum autem de criterio quod appellatur per quod, disputabimus.

CAP. VI.

De criterio *per quod*.

48. Magna certe et propemodum infinita fuit apud Dogmaticos de eo controversia: nos autem rursus certa methodo progredi studentes dicimus, quandoquidem iuxta eos homo est id a quo iudicantur res, sed is aliud

b) πρόκρισις] ita Salmasius, quod utique huic loco rectius convenit quam πρόσκρισις quod exstat in editis. videtur etiam HStephanus πρόκρισις non πρόσκρισις in suo codice legisse.

c) καίτοι τοσαῦτα καὶ κατὰ] in ms Y. καὶ exsulat, quod tamen rectius puto retineri, ut saepius noster, εἰ μέντοι καὶ συγχωρήσαι τις.

d) συμπεριγραφομένων] annotavi hoc verbum plus simplici vice supra lib. 1.

e) εἰρημένων] ita mss pro εἰρημένον.

ὑφ' οὗ κρίνεται τὰ πράγματα, οὐδὲν δὲ οὕτως ἔχει ἄν*) δι' οὗ
κρίνειν δυνήσεται (καθάπερ καὶ αὐτοὶ συνομολογοῦσιν) ἢ αἴσθη-
σιν καὶ διάνοιαν, ἐὰν δείξωμεν ὅτι οὔτε δι' αἰσθήσεως μόνης
δύναται κρίνειν οὔτε διὰ μόνης τῆς διανοίας οὔτε δι' ἀμφοτέρων
αὐτῶν, συντόμως πρὸς ἁπάσας f) τὰς κατὰ μέρος δόξας εἰρήκα-
μεν· πᾶσαι γὰρ δοκοῦσιν εἰς τὰς τρεῖς ταύτας ἀναφέρεσθαι
στάσεις. ἀρξώμεθα δὲ ἀπὸ τῶν αἰσθήσεων. οὐκοῦν ἐπεί τινες 49
μὲν κενοπαθεῖν τὰς αἰσθήσεις g) φασίν - οὐδὲν γὰρ ὑποκεῖσθαι
ὧν ἀντιλαμβάνεσθαι δοκοῦσιν - οἱ δὲ πάντα ὑποκεῖσθαι ὑφ' ὧν
οἴονται κινεῖσθαι λέγουσιν, οἱ δὲ τὰ μὲν ὑποκεῖσθαι τὰ δὲ μὴ ὑπο-
κεῖσθαι, τίνι συγκαταθησόμεθα οὐχ ἕξομεν· οὔτε γὰρ τῇ αἰσθήσει
τὴν διαφωνίαν ἐπικρινοῦμεν, ἐπεὶ περὶ αὐτῆς ζητοῦμεν πότερον κε-
νοπαθεῖ ἢ ἀληθῶς καταλαμβάνει, οὔτε ἑτέρῳ τινί, ἐπεὶ μηδέ ἐστιν
ἄλλο τι κριτήριον δι' οὗ χρὴ κρίνειν κατὰ τὴν προκειμένην ὑπό-
θεσιν. ἀνεπίκριτον ἄρα καὶ ἀκατάληπτον ἔσται, πότερον κενο- 50
παθεῖ ἡ αἴσθησις ἢ καταλαμβάνει τι· ᾧ συνεισέρχεται τὸ μὴ
δεῖν ἡμᾶς τῇ αἰσθήσει μόνῃ προσέχειν ἐν τῇ κρίσει τῶν πρα-
γμάτων, περὶ ἧς οὐκ ἔχομεν εἰπεῖν, εἰ καὶ τὴν ἀρχὴν h) κατα-
λαμβάνει τι. ἀλλ' ἔστω κατὰ συγχώρησιν, τὰς αἰσθήσεις ἀντι- 51
ληπτικὰς εἶναι· οὐδὲν γὰρ ἧττον καὶ οὕτως ἄπιστοι εὑρεθήσον-
ται πρὸς τὴν κρίσιν τῶν ἐκτὸς ὑποκειμένων πραγμάτων. αἱ

nihil habere queat per quod indicare possit, ut ipsi etiam fatentur, quam sensum et intellectum: si ostenderimus ipsum nec per solum sensum indicare posse nec per solum intellectum neque per utrumque simul; compendio omnes particulares opiniones oppugnaverimus: omnes enim ad tria haec genera videntur referri. 49. incipiamus autem a sensibus. quum aliqui affirment vanas esse sensuum passiones, nihil enim his re ipsa subiici eorum quae percipere videntur, alia omnia ea vere subiici illis atque efficere pronuntient, a quibus se putant moveri; sint etiam qui dicant aliqua ex iis subiici aliqua autem minime: cui assentiamur non habebimus. neque enim sensu controversiam diiudicabimus, si quidem de eo disceptamus, an vana passione afficiatur, an potius vere comprehendat, neque ullo alio, quoniam nullum est aliud criterium quo indicare oporteat secundum oppositam hypothesin. 50. erit igitur indiiudicabile et incomprehensibile, utrum vana passione sensus afficiatur an aliquid comprehendat. quo dicto consequitur non oportere nos in rebus iudicandis a solius sensus iudicio pendere, quum de eo dicere non possimus an ullo modo quicquam comprehendat. 51. esto tamen per concessionem, sensus percipiendi vim habere: nihilominus enim et hoc pacto in indicandis rebus extrinsecus subiectis fide indigni esse comperientur. nam sensus contrarie moventur ab externis.

[*) immo: οὐδὲν δὲ οὕτως ἔχοι ἄν.]

f) πρὸς ἁπάσας] sic mss pro πρὸς αὐτάς.

g) τινὲς μὲν κενοπαθεῖν τὰς αἰσθήσεις] sic Heraclitus, Democritus et alii, de quibus lib. 1 contra Logicos sect. 126 seq. et lib. 2 sect. 213.

h) τὴν ἀρχὴν] prorsus, omnino. ita saepe noster, ut infra sect. 190 et 242 et lib. 1 contra Math. sectione 32, 130, lib. 1 contra Log. sect. 70, 278, lib. 2 sect. 269, 337, 389, lib. 1 contra Phys. sect. 270, 325 et contra Ethicos sect. 131, contra Musicos sect. 8 ὡς εἰ καὶ τὴν ἀρχὴν ἔνηφον *ac si fuissent prorsus sobrii*, ubi male interpres *ab initio*. et secundo adversus Logicos sect. 176 οὐδ' ὅλως ἔσται τὴν ἀρχὴν ὑπάρχον, *prorsus omnino quidem non erit*. sic μηδὲ τὴν ἀρχὴν *nullatenus, prorsus non* apud Origenem 1 contra Celsum p. 4 et alibi.

γοῦν αἰσθήσεις ὑπεναντίως i) κινοῦνται ὑπὸ τῶν ἐκτός· οἷον ἡ γεῦσις ὑπὸ τοῦ αὐτοῦ μέλιτος ὁτὲ μὲν πικράζεται ὁτὲ δὲ γλυκάζεται, καὶ ἡ ὅρασις τὸ αὐτὸ χρῶμα ὁτὲ μὲν αἱμωπὸν ὁτὲ δὲ
52 λευκὸν εἶναι *). ἀλλ' οὐδὲ ὄσφρησις ἑαυτῇ συμφωνεῖ. τὸ γοῦν μύρον ὁ μὲν κεφαλαλγικὸς ἀηδές εἶναί φησι, ὁ δὲ μὴ οὕτως
P 79 ἔχων ἡδύ. καὶ οἱ θεόληπτοι k) δὲ καὶ οἱ φρενιτίζοντες ἀκούειν δοκοῦσί τινων διαλεγομένων αὐτοῖς, ὧν ἡμεῖς οὐκ ἐπακούομεν. καὶ τὸ αὐτὸ ὕδωρ τοῖς μὲν φλεγμαίνουσιν ἀηδὲς εἶναι δοκεῖ δι'
53 ὑπερβολὴν θερμότητος, τοῖς δ' ἄλλοις χλιαρόν. πότερον οὖν πάσας τὰς φαντασίας ἀληθεῖς εἶναι φήσειέ τις, ἢ τὰς **) μὲν ἀληθεῖς, τὰς δὲ ψευδεῖς; εἰ καὶ ψευδεῖς l) ἁπάσας εἰπεῖν ἀμήχανον, μηδὲν ἡμῶν ἐχόντων κριτήριον ὁμολογημένον δι' οὗ κρινοῦμεν ὃ προκρίνειν μέλλομεν, ἀλλὰ μηδὲ ἀποδείξεως εὐπορούντων m) ἀληθοῦς τε καὶ κεκριμένης, διὰ τὸ μέχρι νῦν ζητεῖσθαι τὸ τῆς ἀληθείας κριτήριον, δι' οὗ καὶ τὴν ἀληθῆ ἀπόδειξιν ἐπι-
54 κρίνεσθαι προσήκει. διὰ ταῦτα καὶ ὁ ἀξιῶν τοῖς μὲν κατὰ φύσιν ἔχουσιν ἐν τούτοις πιστεύειν, τοῖς δὲ παρὰ φύσιν διακειμένοις μηδαμῶς, ἄτοπος ἔσται· οὔτε γὰρ ἀναποδείκτως τοῦτο λέγων πιστευθήσεται οὔτε ἀπόδειξιν ἀληθῆ καὶ κεκριμένην n) ἕξει
55 διὰ τὰ προειρημένα. εἰ μέντοι καὶ συγχωρήσειέ τις τὰς μὲν

exempli gratia gustatus ex eodem melle aliquando amarorem aliquando dulcedinem percipit, visus quoque eundem colorem modo sanguineum modo album esse putat. 52 Sed nec olfactus quidem sibi consentit: nam qui dolore capitis laborat, unguentum insuave esse dicit, at qui non ita habet, suave ait esse. Et numine afflati ac phrenetici audire sibi videntur aliquos secum sermocinantes, quos nos non audimus; et eadem aqua inflammatione laborantibus videtur esse insuavis propter caloris vehementiam, aliis tepida. 53 Utrum igitur aliquis omnes phantasias veras esse, an partim veras partim falsas esse dixerit? quas quidem et omnes dicere falsas esse non possumus, quum non habeamus ullum criterium extra controversiam positum, quo diiudicemus id quod aliis anteposituri sumus, sed neque demonstratio nobis suppetat vera et iudicata, quum adhuc quaeratur veritatis indicandae iudicium, quo etiam veram demonstrationem diiudicari oportet. 54 Propterea et si quis iis quidem qui se secundum naturam habent credendum censeat, at praeter naturam se habentibus non, is quoque absurda loquetur: neque enim sine demonstratione hoc dicens fidem faciet, neque autem demonstrationem veram et iudicatam habebit, obstantibus iis quae diximus. 55. Quid

i) αἱ γοῦν αἰσθήσεις ὑπεναντίως] multa in eandem sententiam disputata supra lib. 1 sect. 100 seq. ubi dicta si placet vide.

*) excidit δοκεῖ vel simile quid.

k) οἱ θεόληπτοι] lib. 1 sect. 101 οἱ μὲν φρενιτίζοντες καὶ οἱ θεοφορούμενοι δαιμόνων ἀκούειν δοκοῦσιν, ἡμεῖς δὲ οὔ, ad quem locum plura annotavi. Hippocrates de virginum morbis t. 2 p. 856 περὶ τῶν δειμάτων· ὁκόσα [illegible] ἰσχυρῶς, ὥστε παραφρονέειν καὶ ὁρῆν δοκέειν δαίμονάς τινας ἐφ' ἑωυτῶν δυσμενέας, ὁκότε μὲν νυκτὸς ὁκότε δὲ ἡμέρης, ὁκότε δὲ ἀμφοτέρῃσι τῇσιν ὥρῃσι.

P 79 **) legebatur τὰς δὲ μέν.

l) εἰ καὶ ψευδεῖς] male quidam mss ἢ καί.

m) εὐπορούντων] ita pro ἀπορούντων Salmasius manu sua emendaverat, quam ipsius emendationem postea vidi mss auctoritate comprobari.

n) ἀληθῆ καὶ κεκριμένην] post ἀληθῆ in editis male irrepserat εἶναι, quod mss codicibus iubentibus eieci.

τῶν κατὰ φύσιν ἐχόντων φαντασίας εἶναι πιστάς, τὰς δὲ τῶν παρὰ φύσιν διακειμένων ἀπίστους, καὶ οὕτως ἀδύνατος εὑρεθήσεται ἡ διὰ τῶν αἰσθήσεων μόνων κρίσις τῶν ἐκτὸς ὑποκειμένων. ἡ ὅρασις γοῦν καὶ ἡ κατὰ φύσιν ἔχουσα τὸν πύργον o) ὁτὲ μὲν στρογγύλον ὁτὲ δὲ τετράγωνον εἶναι λέγει· καὶ ἡ γεῦσις τὰ αὐτὰ σιτία ἐπὶ μὲν τῶν κεκορεσμένων ἀηδῆ, ἐπὶ δὲ τῶν πεινώντων p) ἡδέα φησὶν εἶναι· καὶ ἡ ἀκοὴ παραπλησίως τῆς αὐτῆς φωνῆς νυκτὸς μὲν ὡς εὐμεγέθους q) ἀντιλαμβάνεται, ἡμέρας δὲ ἀμαυρᾶς· καὶ ἡ ὄσφρησις ἐπὶ μὲν τῶν πολλῶν δυσώδη, 56
ἐπὶ δὲ τῶν βυρσοδεψῶν οὐδαμῶς τὰ αὐτὰ εἶναι δοκεῖ· καὶ ἡ αὐτὴ ἁφὴ εἰσιόντων ἡμῶν εἰς τὸ βαλανεῖον θερμαίνεται ἐπὶ τῆς παραστάδος r), ἐξιόντων δὲ ψύχεται. διόπερ ἐπεὶ καὶ κατὰ φύσιν ἔχουσαι αἱ αἰσθήσεις ἑαυταῖς μάχονται καὶ ἡ διαφωνία ἐστὶν ἀνεπίκριτος, ἐπεὶ μὴ ἔχομεν ὡμολογημένον δι' οὗ κρίνεσθαι δύνανται, τὰς αὐτὰς ἀπορίας ἀκολουθεῖν ἀνάγκη. καὶ ἄλλα δὲ πλείω μεταφέρειν πρὸς τὴν τούτου κατασκευὴν ἐνδέχεται ἐκ τῶν προειρημένων s) ἡμῖν περὶ τῶν τῆς ἐποχῆς τρόπων. διόπερ οὐκ ἂν εἴη ἀληθὲς ἴσως τὸ τὴν αἴσθησιν μόνην δύνασθαι κρίνειν τὰ ἐκτὸς ὑποκείμενα. οὐκοῦν ἐπὶ τὴν διάνοιαν μετέλθωμεν 57
τῷ λόγῳ. οἱ τοίνυν ἀξιοῦντες τῇ διανοίᾳ μόνῃ προσέχειν ἐν τῇ P 80
κρίσει τῶν πραγμάτων, πρῶτον μὲν ἐκεῖνο οὐχ ἕξουσιν δεικνύναι

etiam quamvis concedat aliquis, phantasias eorum quidem qui secundum naturam se habent, fide dignas esse, at eorum qui praeter naturam non item: hoc etiam modo comperietur fieri non posse ut per sensus solos externa subiecta iudicentur. Visus enim etiam qui secundum naturam se habet, turrem interdum rotundam interdum quadratam esse dicit; et gustatus eosdem cibos in saturis quidem insuaves, at in famelicis suaves esse dicit; eodem modo et auditus eandem vocem noctu ut altam percipit, ut interdiu tenuem et depressam. 56. Ipse quoque olfactus plerorumque hominum quae male olere pronuntiat, coriariorum non perinde. quin etiam idem tactus ingredientibus nobis balneum calefit in limine quod est inter duas ianuas, egredientibus autem frigefit. itaque quum ii etiam sensus qui secundum naturam se habent, sibi repugnent, sitque haec controversia indiiudicabilis, quia non confessum est et indubitatum a quo diiudicari possint, easdem dubitationes consequi necesse est. alia insuper multa ad rem hanc astruendam transferri ex iis quae de modis epoches disputavimus possint. quare nequaquam verum fuerit fortasse solum sensum de externis subiectis iudicare posse 57. Itaque ad intellectum orationem convertamus. qui igitur censent intellectum solum sequendum esse in iudicatione rerum, primum quidem illud demonstrare non

o) ἡ ὅρασις τὸν πύργον] supra lib 1 sect. 118.

p) τῶν πεινώντων] ita legendum e mss et HStephani versione pro inepto πινόντων quod habebant editi. Salomo proverb. 27 7 ψυχὴ ἐν πλησμονῇ οὖσα κηρίοις ἐμπαίζει, ψυχῇ δὲ ἐνδεεῖ καὶ τὰ πικρὰ γλυκέα φαίνεται. Xenophon 3 [11 13] Memorabil. ὁρᾷς γὰρ ὅτι καὶ τῶν βρωμάτων τὰ ἥδιστα ἐὰν μέν τις προσφέρηται πρὶν ἐπιθυμεῖν, ἀηδῆ φαίνεται, κεκορεσμένοις δὲ καὶ βδελυγμίαν παρέχει· ἐὰν δέ τις προσφέρῃ λιμὸν ἐμποιήσας, κἂν φαυλότερα ᾖ, πάνυ ἡδέα φαίνεται. plura de re notissima Ducaeus ad paginam 34 homiliae S. Chrysostomi ad Antiochenos t. 1.

q) εὐμεγέθους] ita quoque mss pro ἐκ μεγέθους.

r) ὑπὸ τῆς παραστάδος] editi ἐπὶ τῆς [quod reposuimus]. quid sit παραστάς balnei, exposui supra lib. 1 sect. 110.

s) ἐκ τῶν προειρημένων] supra lib. 1 cap. 14 seqq.

ὅτι καταληπτόν ἐστι τὸ εἶναι διάνοιαν. ἐπεὶ γὰρ ὁ μὲν Γοργίας [t]) οὐδὲν εἶναι φάσκων οὐδὲ διάνοιαν εἶναί φησι, τινὲς δὲ ταύτην ἀποφαίνονται ὑπάρχειν, πῶς οὖν ἐπικρινοῦσι [u]) τὴν διαφωνίαν; οὔτε γὰρ διανοίᾳ, ἐπεὶ τὸ ζητούμενον συναρπάσουσι, οὔτε ἄλλῳ τινί· οὐδὲν γὰρ ἄλλο εἶναί φασι κατὰ τὴν ὑπόθεσιν τὴν νῦν ὑποκειμένην, δι' οὗ κρίνεται τὰ πράγματα· ἀνεπίκριτον ἄρα καὶ ἀκατάληπτον ἔσται, πότερον ἔστι διάνοια ἢ οὐκ ἔστιν· ᾧ συνεισέρχεται τὸ μὴ δεῖν μόνῃ τῇ διανοίᾳ προσέχειν ἐν τῇ τῶν πραγμάτων κρίσει τῇ μηδέπω κατειλημμένῃ.
58 ἀλλὰ κατειλήφθω ἡ διάνοια καὶ ὡμολογείσθω τὸ εἶναι ταύτην καθ' ὑπόθεσιν, λέγω ὅτι οὐ δύναται κρίνειν τὰ πράγματα· εἰ γὰρ μηδ' ἑαυτὴν ἀκριβῶς ὁρᾷ, ἀλλὰ διαφωνεῖ περί τε τῆς οὐσίας αὐτῆς καὶ τοῦ τρόπου τῆς γενέσεως καὶ τοῦ τόπου [x]) ἐν ᾧ ἐστι, πῶς ἂν δυνηθείη τῶν ἄλλων τι
59 ἀκριβῶς καταλαμβάνειν; διδομένου δὲ καὶ τοῦ τὴν διάνοιαν κριτικὴν εἶναι τῶν πραγμάτων, οὐχ εὑρήσομεν πῶς κατ' αὐτὴν κρινοῦμεν· πολλῆς γὰρ οὔσης τῆς κατὰ διάνοιαν διαφορᾶς, ἐπειδὴ ἑτέρα μέν ἐστιν ἡ Γοργίου [y]) διάνοια, καθ' ἥν φησι μηδὲν εἶναι, ἑτέρα δὲ ἡ Ἡρακλείτου [z]), καθ' ἣν λέγει πάντα εἶναι, ἑτέρα δὲ ἡ τῶν λεγόντων τὰ μὲν εἶναι τὰ δὲ μὴ εἶναι, πῶς ἐπικρίνωμεν τὴν τῶν διανοιῶν διαφορὰν οὐχ ἕξομεν, οὐδὲ δυνη-

poterunt posse comprehendi quod intellectus sit. quoniam enim Gorgias qui ait nihil esse, ne intellectum quidem esse dicit, alii autem eum existere pronuntiant, quomodo controversiam diiudicabunt? neque enim intellectu (alioqui id de quo quaeritur simul velut iam probatum arripient) nec ullo alio. nihil enim aliud esse dicunt iuxta hypothesin nunc propositam, per quod res iudicentur. indiiudicabile ergo fuerit et incomprehensibile, sit intellectus necne. ex quo infertur non esse sequendum solum intellectum in rerum iudicatione, quum ipse nondum sit comprehensus. 58. sed esto comprehendi intellectum et per suppositionem pro confesso sit illum existere: ipsum res iudicare non posse dico. nam si ne se ipsum quidem exacte perspicit, sed de substantia sua et de modo generationis et de loco in quo est ambigit: quomodo aliarum rerum quicquam exacte possit comprehendere? 59. quodsi etiam detur intellectum esse rerum diiudicativum, non inveniemus quonam pacto secundum eum iudicemus: quum enim magna sit intellectuum diversitas, quoniam alius est Gorgiae intellectus, secundum quem dicit nihil esse, alius Heracliti, secundum quem dicit omnia esse, alius eorum qui quaedam esse dicunt, quaedam non esse: nullam diiudicandae intellectuum differentiae

---

P 89 t) ὁ μὲν Γοργίας] Gorgias Leontinus libro περὶ τοῦ μὴ ὄντος ἢ περὶ φύσεως cuius verba servavit noster lib. 1 adversus Logicos ubi dicta, si lubet, vide.

u) πῶς οὖν ἐπικρινοῦσι] οὖν quod in editis exciderat, e mss revocavi.

x) καὶ τοῦ τόπου] ita legendum esse pro καὶ τοῦ τό που, quod erat in editis, vel puer videat, etiamsi codices mati quod faciunt, non suffragarentur. constat sane inter philosophos non exiguam controversiam iamdudum intercessisse de loco ubinam sedes sit mentis in corpore, num in corde vigeat, an caput ac cerebrum velut arcem delegerit sibi, in quo gerat imperium atque oculorum, aurium, caeterorumque sensoriorum ministerio utatur, an vero vis eius per totum sanguinem atque adeo corpus dispersa sit, qua de re pluribus dicendi locus erit ad lib. 1 adversus Logicos.

y) ἑτέρα ἡ Γοργίου] de quo iam meminerat sect. 57 et mox plura dicet sect. 64.

z) ἑτέρα ἡ Ἡρακλείτου] Gorgias nihil ita vere esse aut se habere com-

σόμεθα εἰπεῖν, ὅτι τῇ μὲν τοῦδε διανοίᾳ κατακολουθεῖν προσή-
κει, τῇ τοῦδε δὲ οὐδαμῶς. ἤν τε γὰρ διανοίᾳ τινὶ κρίνειν τολ- 60
μῶμεν a) τῆς διαφωνίας μέρει συγκατατιθέμενοι, τὸ ζητούμενον
συναρπάσομεν b), ἤν τε ἑτέρῳ τινί, ψευσόμεθα, ὅτι μόνῃ τῇ δια-
νοίᾳ δεῖ κρίνειν τὰ πράγματα. λοιπὸν ἐκ τῶν περὶ κριτηρίου 61
τοῦ ὑφ' οὗ λεγομένου ῥηθέντων δεικνύναι δυνησόμεθα, ὅτι μήτε
τὴν ἀγχινουστέραν τῶν ἄλλων διάνοιαν εὑρεῖν δυνάμεθα, ὅτι τε,
ἂν εὕρωμεν τῶν τε γεγενημένων καὶ οὐσῶν διανοιῶν ἀγχινου-
στέραν διάνοιαν, ἐπεὶ ἄδηλόν ἐστιν εἰ πάλιν ταύτης ἑτέρα ἔσται
ἀγχινουστέρα, οὐ δεῖ προσέχειν αὐτῇ. ὅτι δὲ κἂν ὑποθώμεθα P 81
διάνοιαν ἧς ἐντρεχεστέρα οὐκ ἂν γένοιτο, οὐ συγκαταθησόμεθα 62
τῷ δι' αὐτῆς κρίνοντι, εὐλαβούμενοι μὴ ψευδῆ τινα λόγον προ-
φερόμενος διὰ τὸ ὀξυτάτης διανοίας μετεσχηκέναι δύναται ἡμᾶς
πείθειν ὅτι ἀληθής ἐστιν· οὐκοῦν οὐδὲ τῇ διανοίᾳ μόνῃ δεῖ
κρίνειν τὰ πράγματα c). λείπεται λέγειν ὅτι δι' ἀμφοτέρων· ὃ 63
πάλιν ἐστὶν ἀδύνατον· οὐ μόνον γὰρ οὐχ ὁδηγοῦσι αἰσθήσεις
τὴν διάνοιαν πρὸς κατάληψιν, ἀλλὰ καὶ ἐναντιοῦνται αὐτῇ·
ἀμέλει γοῦν ἐκ τοῦ τὸ μέλι τοῖσδε μὲν πικρὸν τοῖσδε δὲ γλυκὺ
φαίνεσθαι, ὁ μὲν Δημόκριτος d) ἔφη μήτε γλυκὺ αὐτὸ εἶναι μήτε

viam inveniemus, nec hujus intellectum sequendum esse, illius autem minime dicere nobis licebit. 60. sive enim intellectu aliquo iudicare audeamus dissidentium parti assentientes, id de quo quaeritur simul velut iam probatum arripiemus; sive per aliquid aliud quam per intellectum, mentiemur, quia solo intellectu iudicare res oportet. 61. praeterea ex iis quae de criterio *a quo* dicebantur demonstrare poterimus, nos neque invenire posse qui sit intellectus aliis sollertior, neque licet invenerimus et eorum qui fuerunt et horum qui sunt sagacissimum intellectum (qui incertum est an rursum alius futurus sit aliquando hoc ipso solertior) illius sequendum esse iudicium. 62. quin etiam quamvis supponamus intellectum quo nullus unquam possit esse sagacior, non assentiemur ei qui per ipsum iudicabit metuentes ne falsam aliquam rationem proferens, eo quod acutissimo praeditus sit intellectu veram esse persuadere nobis possit. quamobrem ne intellectus quidem solus res indicat. 63. superest ut res per sensus et intellectum iudicari dicamus, quod rursus fieri non potest. tantum abest enim ut sensus tamquam duces deducant intellectum ad comprehensionem, ut etiam adversentur ipsi; nam quoniam mel aliis amarum aliis dulce videtur, Democritus dixit neque dulce

tendebat quale appareret, Heraclitus vicissim docebat omnia licet contraria, si ita sensibus viderentur, etiam vere ita in rebus existere, τὴν ἐναντιοτροπὴν per naturam suam suscipientibus. vide dicta ad lib. 1 cap. 29.

a) τολμῶμεν] ita mss pro δοκῶμεν quod in editis legebatur.

b) συναρπάσομεν] ita ms pro συναρπάζομεν. ex eodem ms paullo post περὶ κριτηρίου scripsi pro περὶ τοῦ κριτηρίου τοῦ ὑφ' οὗ λεγομένων ῥηθέντων, an λεγομένου [quod reposuimus]? sed λεγομένων potest sensus esse, quem in versione expressi, *illis quae de criteriis a quo dici solent, allatis.*

c) δεῖ κρίνειν τὰ πράγματα] ita mss pro κρίνειν τὰ πράγματα δεῖ quod in editis erat. neque levia haec vel emendasse vel annotasse vitio mihi vertent harum literarum studiosi. quemadmodum enim libros Sexti libenter cupio tales quales ab auctore profecti sunt lectori exhibere, ita nec levissima quidem immutare temere in hoc scriptore vel non praeeuntibus libris aut rationibus quas indicavi clarissimis non suffragantibus ausus sum. P 81

d) ὁ μὲν Δημόκριτος] supra lib. 1 cap. 30.

πικρόν, ὁ δὲ Ἡράκλειτος e) ἀμφότερα. καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεών τε καὶ αἰσθητῶν ὁ αὐτὸς λόγος. οὕτως ἀπὸ τῶν αἰσθήσεων ὁρμωμένη ἡ διάνοια διάφορά τε καὶ μαχόμενα ἀποφαίνεσθαι ἀναγκάζεται. τοῦτο δὲ ἀλλότριόν ἐστι κριτηρίου κατα-
64 ληπτικοῦ f). εἶτα κἀκεῖνο λεκτέον, ἤτοι πάσαις ταῖς αἰσθήσεσι καὶ ταῖς πάντων διανοίαις g) κρινοῦσι τὰ πράγματα ἢ τισίν. ἀλλ' εἰ μὲν πάσαις λέξει τις, ἀδύνατα ἀξιώσει, τοσαύτης μάχης ἐν ταῖς αἰσθήσεσι καὶ ἐν ταῖς διανοίαις ἐμφαινομένης — ἄλλως τε καὶ ἐπεὶ τῆς Γοργίου h) διανοίας ἀπόφασίς ἐστιν τὸ μὴ δεῖν μήτε αἰσθήσει μήτε διανοίᾳ προσέχειν, περιτραπήσεται ὁ λόγος — εἰ δὲ τισι, τισὶ δὲ μή, πῶς κρινοῦσιν ὅτι ταῖσδε μὲν ταῖς αἰσθήσεσι καὶ τῇ διανοίᾳ προσέχειν δεῖ ταῖσδε δὲ οὔ, μὴ ἔχοντες κριτήριον ὁμολογημένον, δι' οὗ τὰς διαφόρους αἰσθήσεις
65 τε καὶ διανοίας ἐπικρινοῦσιν; ἢν δὲ λέγωσιν ὅτι τὰς αἰσθήσεις τε καὶ διανοίας τῇ διανοίᾳ καὶ ταῖς αἰσθήσεσι κρινοῦμεν i), τὸ ζητούμενον συναρπάζουσι· περὶ γὰρ τούτου k), εἰ δύναταί τις διὰ
66 τούτων κρίνειν, ζητοῦμεν. εἶτα κἀκεῖνο ῥητέον ὅτι ἤτοι ταῖς αἰσθήσεσι τάς τε αἰσθήσεις καὶ τὰς διανοίας κρίνεται ἢ ταῖς διανοίαις τάς τε αἰσθήσεις καὶ τὰς διανοίας, ἢ ταῖς μὲν αἰσθήσεσι τὰς αἰσθήσεις καὶ ταῖς διανοίαις τὰς διανοίας, ἢ ταῖς μὲν αἰσθήσεσι τὰς διανοίας, τῇ δὲ διανοίᾳ τὰς αἰσθήσεις. εἰ μὲν οὖν ταῖς αἰσθήσεσιν ἢ τῇ διανοίᾳ ἀμφότερα κρίνειν ἐθελήσουσιν,

neque amarum ipsum esse, at Heraclitus esse utrumque, estque in aliis quoque sensibus et iis quae sensibus percipiuntur eadem ratio, unde fit ut a sensibus procedens intellectus diversa et pugnantia pronuntiare cogatur; hoc autem alienum est a criterio comprehendendi vim et facultatem habente. 64. deinde hoc etiam dicendum, aut omnium sensibus et omnium intellectibus nos res esse iudicaturos, aut aliquibus, iam si dixerit aliquis omnium, rem impossibilem postulabit, quum tanta in sensibus et intellectibus conspiciatur discrepantia (quin etiam quum Gorgiae intellectus neque sensus neque intellectus sequendum esse iudicium pronuntiet, retorquebitur oratio); at si aliquibus, quomodo iudicare poterunt his quidem sensibus et huic intellectui esse adhaerendum, illis non item, quum careant criterio de quo constet, per quod diversitatem sensuum et intellectuum diiudicent? 65. sin dicant nos sensus et intellectus sensibus et intellectibus iudicaturos, id de quo quaeritur arripiunt; nam hoc illud est quod in quaestione versatur, an aliquis per illos iudicare possit. 66. sed et hoc iis quae diximus est addendum, aut sensibus sensus et intellectus iudicari, aut intellectibus sensus et intellectus; aut sensibus quidem sensus, intellectibus vero intellectus; aut sensibus quidem intellectus, intellectu autem sensus. si igitur sensibus aut intellectu

e) ὁ δὲ Ἡράκλειτος] ibid. cap. 29.

f) κριτηρίου καταληπτικοῦ] ita recte mss pro κριτήριον.

g) διανοίαις] ita legit HStephanus, atque in altero codice fuisse testantur Genevenses, quod omnino praeferendum prae illo quod editi habent διαφωνίαις, ubi idem mox recurrit error, consimiliter a me emendatus.

h) τῆς Γοργίου] vide paullo ante sect. 57.

i) καὶ ταῖς αἰσθήσεσι κρινοῦμεν] hic verba sequebantur τισὶ δὲ μή, quae supra exciderant, aliena autem sunt ab hoc loco.

k) περὶ γὰρ τούτου] ita mss pro περὶ γὰρ τοῦ. mox διὰ τούτων scripsi pro διὰ τοῦτο sensu et constructione postulante. sic sect. 63 δι' ἀμφοτέρων κρίνειν.

οὐκέτι δι' αἰσθήσεως καὶ διανοίας κρινοῦσιν, ἀλλὰ δι' ἑνὸς τούτων ὅπερ ἂν ἕλωνται; καὶ παρακολουθήσουσιν αὐτοῖς αἱ ἔμπρο- P 82
σθεν εἰρημέναι l) ἀπορίαι· εἰ δὲ ταῖς αἰσθήσεσι τὰς αἰσθήσεις 67
καὶ τῇ διανοίᾳ τὰς διανοίας ἐπικρινοῦσιν, ἐπειδὴ μάχονται καὶ αἰσθήσεις αἰσθήσεσι καὶ διάνοιαι διανοίαις, ἥντινα ἂν λάβωσιν ἀπὸ τῶν μαχομένων αἰσθήσεων πρὸς τὴν κρίσιν τῶν ἄλλων αἰσθήσεων, τὸ ζητούμενον συναρπάζουσι· μέρος γὰρ τῆς διαφωνίας ὡς πιστὸν ἤδη λήψονται πρὸς τὴν τῶν ἐπ' ἴσης αὐτῷ ζητουμένων ἐπίκρισιν. ὁ δὲ αὐτὸς καὶ ἐπὶ τῶν διανοιῶν λόγος. εἰ 68
111 λήξει. ἐκεῖνο δὲ ἀληθές[x]) "εἰ οὐκ ἔστιν ἀμερῆ τῶν ὄντων στοιχεῖα, ἔστιν ἀμερῆ τῶν ὄντων στοιχεῖα"· ἀεὶ γὰρ ἀπὸ ψευδοῦς ἀρχόμενον, τοῦ "οὐκ ἔστιν ἀμερῆ τῶν ὄντων στοιχεῖα", εἰς ἀληθὲς καταλήξει κατ᾽ αὐτὸν τό "ἔστιν ἀμερῆ τῶν ὄντων στοιχεῖα". οἱ δὲ τὴν συνάρτησιν[y]) εἰσάγοντες ὑγιές εἶναί φασι συνημμένον, ὅταν τὸ ἀντικείμενον[z]) τῷ ἐν

haec quoque omittamus, bonum connexum quale demum sit comprehendi non posse reperietur. nam Philo dicit minime vitiosum esse connexum, quod non incipit a vero et desinit in falsum, ut, die existente et me disputante, hoc, si dies est, ego disputo. at Diodorus ait, quod neque unquam contigit neque potest contingere, ut bonum connexum incipiat a vero et in falsum desinat. secundum quem illud quidem connexum quod diximus falsum esse videtur, quia die quidem existente, me autem tacere incipiente, a vero incipiens in falsum desinit. 111. at illud verum est, si non sint individua rerum elementa, sunt individua rerum elementa. semper enim a falso incipiens, quod est, non esse individua rerum elementa in verum desinet, quod illius iudicio est, individua esse rerum elementa. at qui cohaerentiam connexionis iubent respicere minime vitiosum connexum esse aiunt, quum id

s) ὁ μὲν γὰρ Φίλων] Philonem Stoicum intellige, cuius librum περὶ σημασιῶν impugnavit Chrysippus, teste Laërtio 7 91. quod vero hoc connexum probaverit, narrat etiam Sextus lib. 2 contra Logicos sect. 113, 114.

t) τὸ μὴ ἀρχόμενον] laudato libri 2 adversus Logicos loco hoc exemplum a Philone affertur quod recte concludit, *si volat terra, habet pennas*. at Sextus h. l. affert de industria exemplum eiusmodi, quod male concludit, licet habeat requisita a Philone proposita. nam si ponas de nocte hoc argumentum; *si dies est, ego disputo*, incipit a non vero, non enim est dies, et desinit in falsum, neque enim tunc disputo. per accidens tamen aliquando vera esse utraque propositio esse potest, ut Sextus innuit, die nempe existente meque disputante. confer lib. 2 adversus Log. sect. 115 seq.

u) ὁ δὲ Διόδωρος] Diodorus Cronus, Stoicus et ipse ac Dialecticus acutissimus, cuius praeter Sextum noster et alios in Bibliotheca Graeca 3 15 mihi laudatos meminit etiam Achilles Tatius isagoge in Aratum. noster infra lib. 2 adversus Log. sect. 115.

P 92 x) ἐκεῖνο δὲ ἀληθές] quia Diodorus dixerat connexa bona esse in quibus e falso antecedente aliquid colligitur, v. g. *si asinus volat, habet pennas*, hinc Sextus obiicit ex Diodori sententia etiam bonum fore hoc connexum, *si elementa rerum non constant ex atomis, constant ex atomis*, quia nempe etiam hoc verum colligit ex antecedente falso.

y) τὴν συνάρτησιν] nexum propositionum et cohaerentiam, cui διάρτησις infra sect. 146, 152 opponitur, quando res repugnant vel non cohaerent, et sect. 153, 238 διηρτῆσθαι et ἀσυνάρτητος. [deinde vulgo συνεισάγοντες, quod correxit Wyttenbach. ad Plut. Mor. 3 p 280 Oxon.]

z) ὅταν τὸ ἀντικείμενον] oppositorum eadem ratio cum sit, necesse est opposita quoque inter se connexa esse.

*ἀντικείμενον τοῦ λήγοντι μάχηται τῷ ἐν αὐτῷ ἡγουμένῳ· καθ' οὓς τὰ μὲν εἰ-
ρημένα συνημμένα ἔσται μοχθηρά, ἐκεῖνο δὲ ἀληθές* a), *εἰ ἡμέρα
ἐστίν, ἡμέρα ἐστίν. οἱ δὲ τῇ ἐμφάσει κρίνοντες* b) *φασὶν ὅτι ἀλη-* 112
*θές ἐστι συνημμένον οὗ τὸ λῆγον ἐν τῷ ἡγουμένῳ περιέχεται
δυνάμει· καθ' οὓς τὸ εἰ ἡμέρα ἐστίν, ἡμέρα ἐστί, καὶ πᾶν δια-
φορούμενον* c) *ἀξίωμα συνημμένον ἴσως ψεῦδος ἔσται. αὐτὸ γάρ
τι ἐν ἑαυτῷ περιέχεσθαι, ἀμήχανον. ταύτην τοίνυν τὴν διαφω-* 113
νίαν ἐπικριθῆναι ἀμήχανον ἴσως ἂν εἶναι δόξει [*]) *οὔτε γὰρ ἀνα-
ποδείκτως προκρίνοντές τινα τῶν στάσεων τῶν προειρημένων
πιστοὶ ἐσόμεθα οὔτε μετὰ ἀποδείξεως. καὶ γὰρ ἡ ἀπόδειξις ὑγιὴς
εἶναι δοκεῖ, ὅταν ἀκολουθῇ τῇ διὰ τῶν λημμάτων αὐτῆς συμ-
πλοκῇ τὸ συμπέρασμα αὐτῆς, ὡς λῆγον ἡγουμένῳ, οἷον οὕτως·
εἰ ἡμέρα ἐστίν, φῶς ἐστιν· ἀλλὰ μὴν* d) *ἡμέρα ἐστί, φῶς ἄρα
ἐστίν· εἴπερ ἡμέρα ἐστί, φῶς ἐστι, καὶ ἡμέρα ἐστὶ καὶ φῶς ἐστι·
ζητουμένου δὲ περὶ τοῦ πῶς κρινοῦμεν τὴν ἀκολουθίαν τοῦ λή-* 114
γοντος πρὸς τὸ ἡγούμενον, ὁ διάλληλος εὑρίσκεται τρόπος. ἵνα

quod oppositum est consequentis, antecedenti connexi adversatur. secundum quos ea quae jam dicta sunt connexa erunt vitiosa; illud autem verum, si dies est, dies est. 112. at enim qui ex significatione vel emphasi judicant, verum esse connexum dicunt, ubi consequens includitur potentia in antecedente; secundum quos hoc, si dies est, dies est, et omne conduplicatum axioma connexum fortasse falsum erit. nam aliquid in se ipso comprehendi impossibile est. 113. haec igitur controversia indiiudicabilis videri posit; neque enim sine demonstratione praeferentes aliquam praedictarum ennntiationum fide digni erimus, nec cum demonstratione, nam demonstratio tum demum esse videtur minime vitiosa, quum eius conclusio sequitur eius per sumptiones consertionem, ut consequens ex antecedente, hoc modo; si dies est, lux est; atqui dies est, lux est igitur. si dies est, lux est; et dies est et lux est. 114. quum autem quaeritur quomodo diiudicabimus consequentiam consequentis ad antecedens, vitiosus mutuo probandi modus

a) *ἐκεῖνο δὲ ἀληθές*] verum quidem est, *si dies est, dies est*, sed nugatorium, itaque *ἀληθές* Sextus hoc loco opponit *μοχθηρῷ* et confundit cum eo quod jam dixerat *ὑγιές*, bonum connexum, et secundum ipsorum regulas haud improbandum. tale est apud Ciceronem in Lucullo c. 30 *si lucet, lucet: lucet autem, lucet igitur.*

b) *τῇ ἐμφάσει κρίνοντες*] *ἔμφασις* est potestas significandi plus quam verbo exprimitur, unde latens in illo ac comprehensum deinde erui ac tamquam consequens colligi potest. hinc Cicero lib. 4 Rhetor. ad Herennium c. 54 inter *significationis* sive *ἐμφάσεως* species unam memorat quam *per consequentiam* appellat. Plutarchus libro de *EI* apud Delphos p. 387 *συνάρτησιν, ἔμφασιν* atque *σχέσιν* coniungit, *ὅτι, εἰ ἡμέρα, φῶς ἐστιν, οὐδὲν ἄλλο συνίησι πλὴν ἄνθρωπος, ἡγουμένου καὶ λήγοντος, ἐμφάσεώς τε καὶ συναρτήσεως τούτων πρὸς ἄλληλα καὶ σχέσεως.* hoc autem loco Sextus *τῇ ἐμφάσει κρίνεσθαι* a *συναρτήσει* distinguit, vocatque si consequens cum antecedente non modo nexum habeat, sed in eo lateat ac comprehendatur.

c) *πᾶν τὸ διαφορούμενον*] Stoici *διαφορούμενον ἀξίωμα* appellabant *ἓν ἀξίωμα δὶς λαμβανόμενον*, lib. 2 adversus Logicos. eandem propositionem dupliciter in eodem connexo adhibitam, semel pro antecedente, ac semel pro consequente. hinc emendandus Sextus in eodem adversus Logicos libro, ubi *ἐξ ἀξιώματος διαφόρου* male legebatur pro *διαφορουμένου*, ut ad illum locum annotavi. emendandus etiam Diogenes Laërtius vel supplendus potius 7 69 *ἐξ ἀξιώματος μὲν διαφορουμένου οἷον, εἰ ἡμέρα ἐστὶν* lege: *εἰ ἡμέρα ἐστίν, ἡμέρα ἐστίν.*

[*) immo: *δόξειεν*]

d) *ἀλλὰ μὴν*] sic mss pro *ἀλλὰ ἐπεί.*

μὲν γὰρ ἡ κρίσις τοῦ συνημμένου ἀποδειχθῇ, τὸ συμπέρασμα
τοῖς λήμμασι τῆς ἀποδείξεως [e]) ἀκολουθεῖ, ὡς προειρήκαμεν· ἵνα
δὲ πάλιν τοῦτο πιστευθῇ, δεῖ τὸ συνημμένον καὶ τὴν ἀκολου-
115 θίαν ἐπικεκρίσθαι, ὅπερ ἄτοπον. ἀκατάληπτον ἄρα τὸ ὑγιὲς
συνημμένον. ἀλλὰ καὶ τὸ προκαθηγούμενον ἄπορόν ἐστι· τὸ μὲν
P 93 γὰρ προκαθηγούμενον [f]), ὥς φασιν, ἐστὶ τὸ ἡγούμενον ἐν τοι-
ούτῳ συνημμένῳ, ὃ ἄρχεται ἀπὸ ἀληθοῦς καὶ λήγει ἐπὶ ἀληθές.
116 εἰ δὲ ἐκκαλυπτικόν ἐστι τοῦ λήγοντος τὸ σημεῖον, ἤτοι πρόδη-
λόν ἐστι τὸ λῆγον ἢ ἄδηλον. εἰ μὲν οὖν πρόδηλον, οὐδὲ τοῦ
ἐκκαλύψαντος [g]) δεήσεται, ἀλλὰ συγκαταληφθήσεται αὐτῷ, καὶ
οὐκ ἔστιν αὐτοῦ σημειωτόν, διόπερ οὐδὲ ἐκεῖνο τούτου σημεῖον.
εἰ δὲ ἄδηλον, ἐπεὶ περὶ τῶν ἀδήλων διαπεφώνηται ἀνεπικρίτως,
ποῖα μέν ἐστιν αὐτῶν ἀληθῆ, ποῖα δὲ ψευδῆ, καὶ ὅλως εἰ ἔστι
τι αὐτῶν ἀληθές, ἄδηλον ἔσται, εἰ εἰς ἀληθὲς λήγει [h]) τὸ συνημ-
μένον. ᾧ συνεισάγεται καὶ τὸ ἄδηλον εἶναι, εἰ προκαθηγεῖται
117 τὸ ἐν αὐτῷ ἡγούμενον. ἵνα δὲ καὶ ταῦτα παραλίπωμεν, οὐ δύνα-
ται ἐκκαλυπτικὸν εἶναι τοῦ λήγοντος, εἴ γε πρὸς τὸ σημεῖόν ἐστι
τὸ σημειωτόν, καὶ διὰ τοῦτο συγκαταλαμβάνεται αὐτῷ· τὰ γὰρ
πρός τι ἀλλήλοις συγκαταλαμβάνεται [i]). καὶ ὥσπερ τὸ δεξιὸν πρὸ
τοῦ ἀριστεροῦ ὡς δεξιὸν ἀριστεροῦ καταληφθῆναι οὐ δύναται,
οὐδὲ ἀνάπαλιν, καὶ ἐπὶ τῶν ἄλλων τῶν πρός τι παραπλησίως,
οὕτως οὐδὲ τὸ σημεῖον πρὸ τοῦ σημειωτοῦ καταληφθῆναι δυνα-
118 τὸν ἔσται. εἰ δ' οὐ προκαταλαμβάνεται τὸ σημεῖον τοῦ σημει-

per alterum modus esse comperitur. nam ut diiudicatio connexi demonstretur, conclusio sumptiones demonstrationis sequitur, sicut antea diximus: ut vicissim hoc credatur, oportet connexum et consequentiam diiudicatam esse, quod absurdum est. 115. incomprehensibile est igitur quodnam sit bonum connexum. sed et antecedens in connexo quid sit, intelligi non potest; nam antecedens, ut aiunt, est quod praecedit in eo connexo quod incipit a vero et desinit in verum. 116. quodsi declarativum hoc est signum consequentis, aut manifestum est illud consequens aut occultum. si manifestum, non egebit declarante, sed una comprehendetur cum eo; nec est eius significatum, adeoque nec illud huius signum. quodsi occultum, quia de occultis controversia est indiiudicabilis, quaenam ex eis sint vera, quae falsa, et an ullo modo sit aliquid eorum verum, incertum erit, an sit verum quod dicit connexum. cum quo et hoc colligitur, etiam obscurum esse an re ipsa antecedat, quod in eo est antecedentis loco. 117. sed ut haec quoque omittamus, non potest declarativum esse consequentis, si quidem consequens est signatum respectu signi, et propterea una cum eo comprehenditur. eorum enim quae referuntur ad aliquid, alterum cum altero comprehenditur. et quemadmodum dextrum ante sinistrum comprehendi non potest, tamquam dextrum sinistri, nec e converso, et itidem in aliis quae sunt ad aliquid, sic neque signum ante signatum comprehendi potest. 118. quodsi non comprehenditur signum ante id quod significatur, ne declarativum qui-

e) τῆς ἀποδείξεως] ita scribendum pro τοῖς ex sensu ipso perspicuum et ex mss.

P 93. f) τὸ μὲν γὰρ προκαθηγούμενον] supra sect. 106.

g) ἐκκαλύψαντος] ita mss pro ἐκκαλύψοντος. licet ἐκκαλυψόντων etiam infra sect. 128 et alibi et 170.

h) εἰ εἰς ἀληθὲς λήγει] ita ex mss reposui pro εἰ ἀληθὲς λέγει.

i) ἀλλήλοις συγκαταλαμβάνεται] infra sect. 123 et 169 et lib. 2 contra Logicos.

αὐτοῦ, οὐδὲ ἐκκαλυπτικὸν αὐτοῦ δύναται ὑπάρχειν τοῦ ἅμα αὐτῷ καὶ μὴ μετ' αὐτὸ καταλαμβανομένου. οὐκοῦν καὶ ὅσον ἐπὶ τοῖς κοινότερον λεγομένοις ὑπὸ τῶν ἑτεροδόξων ἀνεπινόητόν ἐστι τὸ σημεῖον· καὶ γὰρ πρός τι καὶ ἐκκαλυπτικὸν τοῦ σημειωτοῦ, πρὸς ᾧ φασιν αὐτὸ εἶναι, τοῦτο εἶναι λέγουσιν. ὅθεν εἰ μὲν πρός τί 119
ἐστι καὶ πρὸς τῷ σημειωτῷ, συγκαταλαμβάνεσθαι πάντως ὀφείλει τῷ σημειωτῷ, καθάπερ τὸ ἀριστερὸν τῷ δεξιῷ, καὶ τὸ ἄνω τῷ κάτω, καὶ τὰ ἄλλα πρός τι· εἰ δὲ ἐκκαλυπτικόν ἐστι τοῦ σημειωτοῦ, προκαταλαμβάνεσθαι αὐτὸ πάντως ὀφείλει, ἵνα προεπιγνωσθὲν εἰς ἔννοιαν ἡμᾶς ἀγάγῃ τοῦ ἐξ αὐτοῦ γινωσκομένου πράγματος. ἀδύνατον δὲ ἐννοῆσαι πρᾶγμα μὴ δυνάμενον 120
πρὸ ἐκείνου γνωσθῆναι, οὗ προκαταλαμβάνεσθαι ἀνάγκην ἔχει[k]· ἀδύνατον ἄρα ἐπινοεῖν τι καὶ πρός τι ὂν καὶ ἐκκαλυπτικὸν ἐκείνου ὑπάρχον πρὸς ᾧ[l] νοεῖται. τὸ δὲ σημεῖον καὶ πρός τί φασιν εἶναι καὶ ἐκκαλυπτικὸν τοῦ σημειωτοῦ· ἀδύνατον ἄρα ἐστὶν ἐπινοῆσαι τὸ σημεῖον. πρὸς τούτοις κἀκεῖνο λεκτέον, δια- 121
φωνία γέγονε παρὰ τοῖς πρὸ ἡμῶν, τῶν μὲν λεγόντων εἶναί τι P 94
σημεῖον ἐνδεικτικόν, τῶν δὲ μηδὲν εἶναι σημεῖον ἐνδεικτικὸν φασκόντων. ὁ λέγων οὖν εἶναί τι σημεῖον ἐνδεικτικόν, ἤτοι ἁπλῶς ἐρεῖ καὶ ἀναποδείκτως ψιλῇ φάσει χρώμενος ἢ μετὰ ἀποδείξεως· ἀλλ' εἰ μὲν φάσει μόνῃ χρήσεται, ἄπιστος ἔσται, εἰ δὲ ἀποδεῖξαι βουλήσεται, τὸ ζητούμενον συναρπάσει. ἐπεὶ γὰρ ἡ ἀπό- 122
δειξις τῷ γένει σημεῖον[m] εἶναι λέγεται, ἀμφισβητουμένου τοῦ πότερόν ἐστί τι σημεῖον ἢ οὐκ ἔστιν, ἀμφισβήτησις ἔσται καὶ

dem eius esse potest, quod cum ipso et non post ipsum comprehenditur. itaque vel ex iis quae communiter disputantur ab illis qui diversam opinionem fovent, signum est huiusmodi quod intellectu concipi non possit. nam ipsum dicunt referri ad aliquid, et declarativum significati, ad quod ipsum referri aiunt. 119. unde consequitur, si quidem refertur ad aliquid et ad significatum, necesse esse, ut una cum signato percipiatur; ut sinistrum una cum dextro, et quod deorsum una cum eo quod sursum est, et ut alia relata sive quae ad aliquid referuntur; at si declarativum est signati, necesse omnino esse ut ante ipsum comprehendatur, ut ante cognitum nos ad notionem ducat rei quae ex ipso cognoscitur. 120. atqui non potest intellectu concipi res, quae ante illud cognosci nequeat, quia prius tamen comprehendi eam sit necesse; non potest igitur intellectu concipi quicquam quod et referatur ad aliquid, et eius sit declarativum, ad quod referri intelligitur. at signum dicunt referri ad aliquid, et declarativum signati; ex quibus consequitur fieri nulla ratione posse ut in intellectu aliquam signi conceptionem habeamus. 121. quibus hoc addi debet, controversia fuit aetate superiori, cum alii dicerent esse aliquod signum indicatorium, alii ullum esse negarent. qui igitur dicit esse aliquod signum indicatorium, aut simpliciter et sine demonstratione hoc dicet nuda enuntiatione utens, aut cum demonstratione. si sola enuntiatione utetur, fide carebit; sin demonstrare volet, id de quo quaeritur arripiet. 122. quandoquidem enim demonstratio e genere signorum esse dicitur, cum dubitetur sit aliquod signum necne, dubium erit etiam sitne demonstratio an non sit. sicuti (ut hoc supponamus) si quae-

k) οὐ προκαταλαμβάνεσθαι ἀνάγκην ἔχει] ita mss quemadmodum etiam Salmasius coniecerat. male enim editi, οὐ προκαταλαμβάνεσθαι ἀνάγκην ἔχειν.

l) πρὸς ᾧ] ms. Savil. πρὸς ὅ, minus bene.

m) τῷ γένει σημεῖον] supra sect. 96. P 95

περὶ τοῦ πότερόν ἐστιν ἀπόδειξις ἢ οὐδαμῶς, ὥσπερ καθ' ὑπόθεσιν ζητουμένου, εἰ ἔστι ζῷον, ζητεῖται καὶ περὶ τοῦ εἰ ἔστιν ἄνθρωπος, ζῷον γὰρ ὁ ἄνθρωπος. ἄτοπον δὲ τὸ ζητούμενον διὰ τοῦ ἐπ' ἴσης ζητουμένου ἢ δι' αὑτοῦ ἀποδεικνύναι· οὐδὲ *) δι' ἀποδείξεως ἄρα δυνήσεταί τις διαβεβαιοῦσθαι ὅτι ἔστι σημεῖον.
123 εἰ δὲ μήτε ἁπλῶς μήτε μετὰ ἀποδείξεως οἷόν τέ ἐστι περὶ τοῦ σημείου διαβεβαιωτικῶς ἀποφαίνεσθαι, ἀδύνατόν ἐστι περὶ αὐτοῦ καταληπτικὴν ἀπόφασιν ποιήσασθαι· εἰ δὲ μὴ καταλαμβάνεται μετὰ ἀκριβείας τὸ σημεῖον, οὐδὲ σημαντικὸν εἶναι λεχθήσεταί τινος, ἅτε δὴ μηδὲ αὐτὸ ὁμολογούμενον· διὰ δὲ τοῦτο οὐδὲ σημεῖον ἔσται. ὅθεν καὶ κατὰ τοῦτον τὸν ἐπιλογι-
124 σμὸν ἀνύπαρκτον ἔσται τὸ σημεῖον καὶ ἀνεπινόητον. ἔτι μέντοι κἀκεῖνο ῥητέον· ἤτοι φαινόμενα μόνον ἐστὶ τὰ σημεῖα ἢ ἄδηλα μόνον, ἢ τῶν σημείων τὰ μὲν ἐστι φαινόμενα τὰ δὲ ἄδηλα n). οὐδὲν δὲ τούτων ἐστὶν ὑγιές· οὐκ ἄρα ἔστι σημεῖον. ὅτι μὲν οὖν ἄδηλα οὐκ ἔστι πάντα τὰ σημεῖα, ἐντεῦθεν δείκνυται· τὸ ἄδηλον οὐκ ἐξ ἑαυτοῦ φαίνεται ὡς οἱ Δογματικοί φασιν, ἀλλὰ δι' ἑτέρου ὑποπίπτει. καὶ τὸ σημεῖον οὖν, εἰ ἄδηλον εἴη, ἑτέρου δεήσεται σημείου ἀδήλου, ἐπεὶ μηδὲν φαινόμενόν ἐστι σημεῖον κατὰ τὴν προκειμένην ὑπόθεσιν, κἀκεῖνο ἄλλου καὶ μέχρις ἀπείρου. ἀδύνατον δὲ ἄπειρα σημεῖα λαμβάνειν· ἀδύνατον ἄρα τὸ σημεῖον καταληφθῆναι ἄδηλον ὄν. διὰ δὲ τοῦτο καὶ ἀνύπαρκτον ἔσται, μὴ δυνάμενον σημαίνειν τι καὶ σημεῖον εἶναι διὰ τὸ μὴ
125 καταλαμβάνεσθαι. εἰ δὲ πάντα τὰ σημεῖα φαινόμενά ἐστιν, ἐπεὶ καὶ πρός τί ἐστι τὸ σημεῖον καὶ πρὸς τῷ σημειωτῷ, τὰ δὲ πρός

ritur an sit animal, quaeritur et de hoc, an sit homo; animal enim est homo. absurdum est autem id quod quaeritur per id quod pariter quaeritur aut per se ipsum demonstrare. ergo ne demonstratione quidem poterit quisquam affirmare dari signum. 123. quodsi nec simpliciter nec cum demonstratione potest de signo affirmative pronuntiari, neutiquam de eo velut de re comprehensa pronuntiationem facere licet. quodsi non comprehenditur exacte signum, ne significativum quidem esse dicetur rei ullius, quum neque de ipso satis constet; propterea nec signum quidem erit. secundum hanc ratiocinationem ergo nec existens erit signum et huiusmodi quod intellectu concipere nequeamus. 124. illud tamen insuper dicendum est, aut evidentia solum sunt signa aut obscura, aut ex signis alia evidentia obscura alia. at nihil est horum verum; non est igitur signum. nam obscura non esse omnia signa hinc ostenditur: obscurum non ex se ipso evidens est ut Dogmatici aiunt, sed per aliud sub sensus cadit; ergo et signum si obscurum sit, alio signo egebit, quod et ipsum obscurum sit, si quidem secundum propositam suppositionem non est ullum signum evidens et illud iterum alio et ita usque in infinitum. at infinita signa accipere nullo modo licet. nullo modo igitur signum comprehendere licet, quod sit obscurum; propterea neque ullum tale existet, quum non possit significare aliquid, neque signum esse, eo quod non comprehendatur. 125. quodsi omnia signa evidentia sunt, quoniam et signum est ex iis quae referuntur ad aliquid et ad signatum; eorum

[*) legebatur οὔτε?]

n) ἄδηλα] *obscura* malui reddere, quam cum HStephano *incerta*, nam non modo *φαινομένοις* opponuntur, sed etiam describuntur, ἃ οὐκ ἐξ ἑαυτοῦ φαίνεται, ἀλλὰ δι' ἑτέρου ὑποπίπτει. eadem itaque hoc loco ἄδηλα quae lib. 2 adversus Logicos ἀφανῆ. sic infra sect. 135 in definitione demonstrationis ἐπιφορὰ ἄδηλος non est *incerta* conclusio sed quae obscura antea fuerat.

τι συγκαταλαμβάνεται[o]) ἀλλήλοις, τὰ σημειωτὰ εἶναι λεγόμενα
σὺν τοῖς φαινομένοις καταλαμβανόμενα φαινόμενα ἔσται. ὥσπερ P. 95
γὰρ ἅμα ὑποπιπτόντων τοῦ τε δεξιοῦ καὶ τοῦ ἀριστεροῦ, οὐ μᾶλ-
λον τὸ δεξιὸν τοῦ ἀριστεροῦ ἢ τὸ ἀριστερὸν τοῦ δεξιοῦ φαίνε-
σθαι λέγεται, οὕτως συγκαταλαμβανομένων τοῦ τε σημείου καὶ
τοῦ σημειωτοῦ, οὐ μᾶλλον τὸ σημεῖον ἢ τὸ σημειωτὸν φαίνεσθαι
ῥητέον. εἰ δὲ φαινόμενόν ἐστι τὸ σημειωτόν, οὐδὲ σημειωτὸν 126
ἔσται μὴ δεόμενον τοῦ σημαίνοντος αὐτὸ καὶ ἐκκαλύψαντος. ὅθεν
ὥσπερ ἀναιρουμένου δεξιοῦ οὐδὲ ἀριστερόν ἐστιν, οὕτως ἀναι-
ρουμένου τοῦ σημειωτοῦ οὐδὲ σημεῖον εἶναι δύναται· ὥστε ἀνύπαρ-
κτον εὑρίσκεται τὸ σημεῖον, εἴπερ φαινόμενα μόνα εἶναι λέγοι
τις τὰ σημεῖα. λείπεται λέγειν ὅτι τῶν σημείων τὰ μέν ἐστι φαι- 127
νόμενα, τὰ δὲ ἄδηλα· καὶ οὕτως δὲ αἱ ἀπορίαι μένουσι. τῶν
τε γὰρ φαινομένων σημείων τὰ σημειωτὰ εἶναι λεγόμενα φαινό-
μενα ἔσται καθὰ προειρήκαμεν, καὶ μὴ δεόμενα τοῦ σημαινοῦν-
τος οὐδὲ σημειωτὰ ὅλως ὑπάρξει· ὅθεν οὐδὲ ἐκεῖνα σημεῖα ἔσται,
μηδὲν σημαίνοντα· τά τε ἄδηλα σημεῖα χρήζοντα τῶν ἐκκαλυ- 128
ψόντων αὐτά, ἐὰν μὲν ὑπὸ ἀδήλων σημαίνεσθαι λέγηται, εἰς
ἄπειρον ἐκπίπτοντος τοῦ λόγου ἀκατάληπτα εὑρίσκεται καὶ διὰ
τοῦτο ἀνύπαρκτα, ὡς προειρήκαμεν[p])· ἐὰν δὲ ὑπὸ φαινομένων,
φαινόμενα ἔσται σὺν τοῖς φαινομένοις αὐτῶν σημείοις καταλαμ-
βανόμενα· διὰ δὲ τοῦτο καὶ ἀνύπαρκτα. ἀδύνατον γὰρ εἶναί τι
πρᾶγμα, ὃ καὶ ἄδηλόν ἐστι φύσει καὶ φαίνεται. τὰ δὲ σημεῖα
περὶ ὧν ἐστιν ὁ λόγος, ἄδηλα ὑποτιθέντα φαινόμενα εὑρέθη κατὰ
τὴν περιτροπὴν τοῦ λόγου. εἰ οὖν μήτε πάντα τὰ σημεῖα φαι- 129
νόμενά ἐστι μήτε πάντα ἄδηλα μήτε τῶν σημείων τινὰ μέν ἐστι

autem quae ad aliquid referuntur alterum cum altero una comprehenditur, ea quae signata esse dicuntur, si comprehendantur cum evidentibus signis evidentia et ipsa erunt. quemadmodum enim quum una sub sensus nostros cadunt dextrum et sinistrum, non magis dextrum quam sinistrum, aut sinistrum quam dextrum dicitur apparere, ita si una comprehendantur signum et res quae per ipsum signatur, non magis signum quam id quod per ipsum significatur, evidens esse dicendum est. 126. quodsi evidens sit signatum, ne signatum quidem erit, quum non egeat alio a quo significetur et a quo declaretur: unde quemadmodum sublato dextro ne sinistrum quidem existit, ita sublato signato ne signum quidem existere potest. itaque nullum existere signum comperitur, si quis signa dicat tantum esse evidentia. 127. superest igitur ut ex signis alia evidentia, alia obscura esse dicantur. sed hoc quoque modo in iisdem dubitationibus haerebimus; nam evidentium signorum ea quae dicuntur esse signata evidentia erunt, ut diximus; et si non egeant ullo a quo signentur, ne signata quidem esse poterunt. unde ne illa quidem signa erunt utpote nihil signantia. 128. signa autem obscura, quae indigeant declarantibus ea aliis signis, siquidem ab obscuris significari dicantur, quum oratio in infinitum exeat, incomprehensibilia comperiuntur et propterea non existentia, ut antea diximus. at si ab evidentibus, ipsa quoque evidentia erunt, utpote quae cum evidentibus suis signis comprehendantur, ideoque non existentia. fieri enim non potest ut res ulla obscura sit natura eademque evidens. at signa de quibus loquimur, quum supposita sint esse obscura, evidentia esse comperimus retorquendo orationem. 129. si ergo nec omnia signa evidentia sunt nec omnia obscura, nec signorum quaedam sunt evi-

---

o) τὰ δὲ πρός τι συγκαταλαμβάνεται] supra sect. 119. adde sect. 169.
p) ὡς προειρήκαμεν] sect. 124. P 95

φαινόμενα τινὰ δὲ ἄδηλα, καὶ παρὰ ταῦτα οὐδέν ἐστιν, ὡς καὶ
130 αὐτοί φασιν, ἀνύπαρκτα ἔσται τὰ λεγόμενα σημεῖα. ταῦτα μὲν οὖν ὀλίγα ἀπὸ πολλῶν ἀρκέσει νῦν εἰρῆσθαι πρὸς ὑπόμνησιν τοῦ μὴ εἶναι σημεῖον ἐνδεικτικόν. ἑξῆς δὲ καὶ τὰς ὑπομνήσεις τοῦ εἶναί τι σημεῖον ἐκθησόμεθα, ἵνα τὴν ἰσοσθένειαν q) τῶν ἀντικειμένων λόγων παραστήσωμεν. ἤτοι οὖν σημαίνουσί τι αἱ κατὰ τοῦ σημείου φωναὶ φερόμεναι, ἢ οὐδὲν σημαίνουσι. καὶ εἰ μὲν
131 ἄσημοί εἰσι, πῶς ἂν κινήσειαν τὴν ὕπαρξιν τοῦ σημείου; εἰ δὲ σημαίνουσι τί ἐστι σημεῖον, ἔτι ἤτοι ἀποδεικτικοί εἰσιν οἱ λόγοι οἱ κατὰ τοῦ σημείου, ἢ οὐκ ἀποδεικτικοί· ἀλλ' εἰ μὲν οὐκ ἀποδεικτικοί, οὐκ ἀποδεικνύουσι τὸ μὴ εἶναι σημεῖον· εἰ δὲ ἀπο-
P 96 δεικτικοί, ἐπεὶ ἡ ἀπόδειξις τῷ γένει σημεῖόν ἐστιν, ἐκκαλυπτικὴ οὖσα τοῦ συμπεράσματος, ἔσται σημεῖον. ὅθεν καὶ συνερωτᾶται λόγος τοιοῦτος, εἰ ἔστι τι σημεῖον r), ἔστι σημεῖον· καὶ εἰ μὴ ἔστι σημεῖον, ἔστι σημεῖον· τὸ γὰρ μὴ εἶναι σημεῖον δι' ἀποδείξεως (ἥ δή ἐστι σημεῖον) δείκνυται. ἤτοι δὲ ἔστι σημεῖον, ἢ
132 οὐκ ἔστι σημεῖον, ἔστιν ἄρα σημεῖον. τούτῳ δὲ τῷ λόγῳ παράκειται s) τοιοῦτος λόγος· εἰ οὐκ ἔστι τι σημεῖον, οὐκ ἔστι σημεῖον· καὶ εἰ ἔστι σημεῖον, ὅ φασιν οἱ Δογματικοὶ σημεῖον εἶναι, οὐκ ἔστι σημεῖον. τὸ γὰρ σημεῖον περὶ οὗ ὁ λόγος, κατὰ τὴν ἐπί-

dentia quaedam obscura, et praeter haec nihil est, ut ipsi quoque aiunt, nulla existent quae vocantur signa. 130. haec igitur pauca de multis nunc dixisse sat erit ad docendum non dari signum indicativum. deinceps iam autem rationes exponemus quibus doceri possit aliquod esse signum, ut aequipollentiam contrariorum rationum ostendamus. aut igitur significant aliquid voces quae contra signum afferuntur, aut nihil significant, et si quidem insignificabiles sunt, quomodo labefactare possint existentiam signi? 131. sin autem significant quid sit signum, aut demonstrativae sunt rationes quae adversus signum afferuntur, aut non demonstrativae. si non sunt demonstrativae, non demonstrant non esse signum; sin demonstrativae, quoniam demonstratio e genere signorum est, declarativa conclusionis, erit signum. unde et huiusmodi argumentum ab illis proponitur, si aliquod est signum, est signum; et si non est signum, est signum. nam hoc non esse signum per demonstrationem (quae quidem est signum) ostenditur. porro autem est signum, aut non est signum; est ergo signum. 132. huic autem argumentationi ex adverso stat argumentum huiusmodi, si non est aliquod signum, non est signum, et si est signum quod dicunt Dogmatici signum esse, non est signum. nam signum de quo agitur, quale illud imaginantur et ad ali-

q) τὴν ἰσοσθένειαν] proram hanc et puppim Scepticismi, rationes dubitandi ex utraque parte adducere atque in promptu habere aequalis ponderis, atque in neutram ita inclinantes ut assensum sustinere non liceat, sed ἴσην πιθανότητα prae se ferentes. confer sect. 79, 103, 185 et lib. 2 adversus Logicos.

P 96 r) εἰ ἔστι τι σημεῖον etc.] argumentum quale Stoici vocabant λόγον διὰ δύο τροπικῶν, de quo dixi supra ad sect. 8.

s) παράκειται] H. Stephanus vertit *consequitur.* at non consequitur hoc argumentum ex altero, verum tamquam ἰσοσθενὲς illi a Sexto opponitur, estque eiusdem generis quale superius, nimirum λόγος διὰ δύο τροπικῶν, sed contrarium concludens. itaque malui reddere *ex adverso stat*, puto enim παράκειται hoc loco idem esse quod ἀντίκειται in solemni illo Scepticorum: παντὶ λόγῳ λόγος ἴσος ἀντίκειται; supra lib. 1 cap. 27. [an ἀντιπαράκειται?]

νοιαν αὐτοῦ *), καὶ πρός τι εἶναι λεγόμενον καὶ ἐκκαλυπτικὸν τοῦ σημειωτοῦ, ἀνύπαρκτον εὑρίσκεται, ὡς παρεστήσαμεν. ἤτοι δέ ἐστι σημεῖον ἢ οὐκ ἔστιν σημεῖον· οὐκ ἄρα ἔστι σημεῖον. καὶ 133 περὶ τῶν φωνῶν δὲ τῶν ὑπὲρ τοῦ σημείου αὐτοὶ ἀποκρινάσθωσαν οἱ Δογματικοί, πότερον σημαίνουσί τι ἢ οὐδὲν σημαίνουσιν. εἰ μὲν γὰρ οὐδὲν σημαίνουσιν, οὐ πιστοῦται τὸ εἶναι σημεῖον· εἰ δὲ σημαίνουσιν, ἀκολουθήσει αὐταῖς τὸ σημειωτόν. τοῦτο δὲ ἦν τὸ εἶναί τι σημεῖον, ᾧ ἕπεται τὸ εἶναι σημεῖον, ὡς ὑπεμνήσαμεν κατὰ τὴν τοῦ λόγου περιτροπήν. πλὴν ἀλλ' οὕτω πιθανῶν καὶ πρὸς τὸ εἶναι σημεῖον καὶ πρὸς τὸ μὴ εἶναι λόγων φερομένων, οὐ μᾶλλον εἶναι σημεῖον ἢ μὴ εἶναι ῥητέον.

ΚΕΦ. ιβ'.

Περὶ ἀποδείξεως.

Φανερὸν μὲν ἐκ τούτων ὅτι οὐδὲ ἡ ἀπόδειξις ὁμολογούμενόν 134 τι πρᾶγμά ἐστι· εἰ γὰρ περὶ τοῦ σημείου ἐπέχομεν καὶ ἡ ἀπόδειξις δὲ σημεῖόν [t]) τί ἐστι, καὶ περὶ τῆς ἀποδείξεως ἐπέχειν ἀνάγκη. καὶ γὰρ εὑρήσομεν τοὺς περὶ τοῦ σημείου λόγους ἠρωτημένους ἐφαρμόζεσθαι δυναμένους καὶ κατὰ τῆς ἀποδείξεως, ἐπεὶ καὶ πρός τι εἶναι δοκεῖ καὶ ἐκκαλυπτικὴ τοῦ συμπεράσματος· οἷς ἠκολούθει τὰ πρὸς τὸ σημεῖον ἡμῖν εἰρημένα σχεδὸν ἅπαντα. εἰ δὲ δεῖ καὶ ἰδίως περὶ ἀποδείξεως εἰπεῖν, συντόμως 135 ἐπελεύσομαι τὸν περὶ αὐτῆς λόγον πρότερον σαφηνίσαι πειραθεὶς διὰ βραχέων, τί φασιν εἶναι τὴν ἀπόδειξιν. ἔστιν οὖν, ὥς φασιν, ἡ ἀπόδειξις λόγος δι' ὁμολογουμένων [u]) λημμάτων κατὰ

quid referri dicunt et declarativum esse signati, nusquam existere comperitur, ut ostendimus. porro aut est signum, aut non est signum; non est ergo signum. 133. de vocibus autem quae de signo proferuntur, respondeant ipsimet Dogmatici, significent aliquid necne. nam si nihil significant, non confirmatur esse signum, sin autem significant, eas sequetur significatum. hoc autem erat esse aliquod signum, ex quo consequitur esse signum, ut monuimus orationem retorquendo. iam quum et ad ostendendum esse signum et ad ostendendum non esse rationes aeque probabiles afferantur, non magis esse signum quam non esse dicendum est.

CAP. XII.

De demonstratione.

134. Manifestum est igitur ex his ne demonstrationem quidem rem esse de qua constet. nam si de signo assensum retinemus et ipsa quoque demonstratio signum aliquod est, etiam de demonstratione assensum retinere necesse fuerit. comperiemus enim argumenta quae de signo proposita sunt, etiam adversus demonstrationem aptari posse, quia et ad aliquid referri videtur et declarativa esse conclusionis; ex quibus sequebantur ea fere omnia quae adversus signum diximus. 135. si tamen et seorsim de demonstratione verba facere oporteat, paucis eius tractationem expediam, si prius breviter explicare conatus fuero, quid dicant esse demonstrationem. est ergo (ut aiunt) demonstratio argumentum per confessas et indubitatas sumptiones col-

[*) immo αὐτῶν.]

t) ἡ ἀπόδειξις δὲ σημεῖον] supra sect. 96, 122, 131.

u) δι' ὁμολογουμένων] ita mss pro διομολογουμένων. Cicero 2 Acad. quaest. c. 8: argumenti conclusio quae est Graece ἀπόδειξις ita definitur: ratio quae ex rebus perceptis ad id quod non percipiebatur ad-

συναγωγὴν ἐπιφορὰν ἐκκαλύπτων ἄδηλον. σαφέστερον δὲ ὃ λέ-
P 97 γουσιν ἔσται διὰ τούτων· λόγος ἐστὶ σύστημα ἐκ λημμάτων
136 καὶ ἐπιφορᾶς· τούτου δὲ λήμματα μὲν εἶναι λέγεται τὰ πρὸς
κατασκευὴν τοῦ συμπεράσματος συμφώνως λαμβανόμενα ἀξιώ-
ματα· ἐπιφορὰ δὲ συμπέρασμα x) τὸ ἐκ τῶν λημμάτων κατα-
σκευαζόμενον ἀξίωμα, οἷον ἐν τούτῳ, εἰ ἡμέρα ἐστί, φῶς ἐστι·
ἀλλὰ μὴν ἡμέρα ἐστί, φῶς ἄρα ἐστί· τὸ μὲν φῶς ἄρα ἐστὶ
137 συμπέρασμά ἐστι, τὰ δὲ λοιπὰ λήμματα. τῶν δὲ λόγων οἱ μέν
εἰσι συνακτικοί y), οἱ δὲ ἀσύνακτοι. συνακτικοὶ μέν, ὅταν τὸ
συνημμένον τὸ ἀρχόμενον μὲν ἀπὸ τοῦ διὰ τῶν τοῦ λόγου λημ-
μάτων συμπεπλεγμένου, λῆγον δὲ εἰς τὴν ἐπιφορὰν αὐτοῦ, ὑγιὲς
ᾖ, οἷον ὁ προειρημένος λόγος συνακτικός ἐστιν, ἐπεὶ τῇ διὰ τῶν
λημμάτων αὐτοῦ συμπλοκῇ ταύτῃ, ἡμέρα ἐστί, καὶ εἰ ἡμέρα
ἐστί, φῶς ἐστιν, ἀκολουθεῖ τὸ φῶς ἐστιν, ἐν τούτῳ τῷ συνημ-
μένῳ, εἰ ἡμέρα ἐστί, καὶ εἰ ἡμέρα ἐστί, φῶς ἐστιν. ἀσύνακτοι
138 δὲ οἱ μὴ οὕτως ἔχοντες. τῶν δὲ συνακτικῶν οἱ μέν εἰσιν ἀλη-
θεῖς, οἱ δὲ οὐκ ἀληθεῖς z). ἀληθεῖς μέν, ὅταν μὴ μόνον τὸ
συνημμένον ἐκ τῆς τῶν λημμάτων συμπλοκῆς καὶ τῆς ἐπιφορᾶς,
ὡς προειρήκαμεν, ὑγιὲς ᾖ, ἀλλὰ καὶ τὸ συμπέρασμα καὶ τὸ διὰ
τῶν λημμάτων αὐτοῦ συμπεπλεγμένον ἀληθὲς ὑπάρχῃ, ὅ ἐστιν
ἡγούμενον ἐν τῷ συνημμένῳ. ἀληθὲς δὲ συμπεπλεγμένον ἐστὶ τὸ
πάντα ἔχον ἀληθῆ, ὡς τὸ ἡμέρα ἐστί, καὶ εἰ ἡμέρα ἐστί, φῶς
139 ἐστιν. οὐκ ἀληθεῖς δὲ οἱ μὴ οὕτως ἔχοντες· ὁ γὰρ τοιοῦτος λό-

ligendo, declarans conclusionem quae antea obscura fuerat. quod porro dicunt, ex his apertius erit. argumentum, aiunt, est quod constat ex sumptionibus et conclusione. 136. huius autem sumptiones esse dicuntur pronuntiata, quae ex consensu ad astruendam conclusionem accipiuntur. illatio autem sive conclusio est pronuntiatum quod ex sumptionibus astruitur; ut in his, si dies est, lux est, atqui dies est, ergo lux est, istud quidem, ergo lux est, pro conclusione est, reliqua autem sumptiones. 137. argumentorum hinc alia sunt colligendi vim habentia alia non habentia. colligendi vim habent, quando connexum quod incipit a sumptionibus argumenti conserte positis, et desinit in conclusionem eius, verum est; exempli gratia argumentum supradictum colligendi vim habet, quia hanc sumptionum eius factam consertionem, dies est, et si dies est, lucet, consequitur, lucet, in hoc connexo, si dies est, lucet. colligere autem non possunt quae non ita se habent. 138. porro ex his colligendi vim habentibus argumentis alia vera sunt alia falsa; vera quidem, quum non solum connexum ex sumptionum consertione et conclusione, ut diximus, verum est, sed etiam conclusio et id quod in sumptionibus eius consertum est verum est, quod est in connexo antecedens. verum autem consertum est quod omnia habet vera, ut hoc, dies est, et, si dies est, lucet. 139. falsa autem argumenta colligendi vi

ducit. confer quae viri docti ad Laert. 7, 45 et nostrum infra sect. 140, 143.

P 97. x) ἐπιφορὰ δὲ συμπέρασμα] ita rectius mss pro ἢ συμπέρασμα et mox κατασκευαζόμενον pro κατασκευαζομένων.

y) οἱ μέν εἰσι συνακτικοί] confer lib. 2 adversus Logicos sect. 303 seq. et 415 seq.

z) οἱ δὲ οὐκ ἀληθεῖς] dantur enim argumenta quae recte concludunt quidem, sed quoniam e falsis, etiam falsa, ut: si asinus volat, habet pennas, lib. 2 contra Log. sect. 413. 415.

γος ἡμέρας οὔσης a) "εἰ νύξ ἐστι, σκότος ἐστίν· ἀλλὰ μὴν νύξ ἐστι, σκότος ἄρα ἐστί" συνακτικὸς μέν ἐστιν, ἐπεὶ τὸ συνημμένον τοῦτο ὑγιές ἐστιν, εἰ νύξ ἐστι, καί, εἰ νύξ ἐστι b), σκότος ἄρα ἐστὶν οὐ μέντοι ἀληθής· τὸ γὰρ ἡγούμενον συμπεπλεγμένον ψεῦδός ἐστι, τὸ νύξ ἐστι· καὶ εἰ νύξ ἐστι, σκότος ἐστί, ψεῦδος ἔχον ἐν ἑαυτῷ c) τὸ νύξ ἐστι. ψεῦδος γάρ ἐστι συμπεπλεγμένον τὸ ἔχον ἐν ἑαυτῷ ψεῦδος. ἔνθεν καὶ ἀληθῆ λόγον εἶναί φασι τὸν δι' ἀληθῶν λημμάτων ἀληθὲς συνάγοντα συμπέρασμα. πάλιν 140
δὲ τῶν ἀληθῶν λόγων οἱ μέν εἰσιν ἀποδεικτικοὶ οἱ δ' οὐκ ἀποδεικτικοί· καὶ ἀποδεικτικοὶ μὲν οἱ διὰ προδήλων ἄδηλόν τι συνάγοντες, οὐκ ἀποδεικτικοὶ δὲ οἱ μὴ τοιοῦτοι· οἷον ὁ μὲν τοιοῦτος λόγος "εἰ ἡμέρα ἐστί, φῶς ἐστι· ἀλλὰ μὴν ἡμέρα ἐστί, φῶς ἄρα ἐστίν", οὐκ ἔστιν ἀποδεικτικός. τὸ γὰρ φῶς εἶναι, ὅπερ ἐστὶν αὐτοῦ συμπέρασμα, πρόδηλόν ἐστιν. ὁ δὲ τοιοῦτος "εἰ ἱδρῶτες ῥέουσι διὰ τῆς ἐπιφανείας, εἰσὶ νοητοὶ πόροι· ἀλλὰ μὴν ἱδρῶτες P 98
ῥέουσι διὰ τῆς ἐπιφανείας, εἰσὶν ἄρα νοητοὶ πόροι" ἀποδεικτικός ἐστι τὸ συμπέρασμα ἔχων ἄδηλον τό, "εἰσὶν ἄρα νοητοὶ πόροι".
τῶν δὲ ἄδηλόν τι συναγόντων οἱ μὲν ἐφοδευτικῶς μόνον ἄγου- 141
σιν ἡμᾶς διὰ τῶν λημμάτων ἐπὶ τὸ συμπέρασμα, οἱ δὲ ἐφοδευτικῶς ἅμα καὶ ἐκκαλυπτικῶς. οἷον ἐφοδευτικῶς μὲν οἱ ἐκ πίστεως καὶ μνήμης ἠρτῆσθαι δοκοῦντες, οἷός ἐστιν ὁ τοιοῦτος "εἴ τίς σοι θεῶν d) εἶπεν ὅτι πλουτήσει οὗτος, πλουτήσει οὗτος· οὑτοσὶ δὲ ὁ θεὸς (δείκνυμι δὲ καθ' ὑπόθεσιν τὸν Δία) εἶπέ σοι ὅτι

pollentia sunt quae hoc non habent. quoniam enim dies iam est, haec argumentatio "si nox est, tenebrae sunt, atqui nox est, ergo tenebrae sunt", habet quidem colligendi vim, quia connexum hoc recte concludit "nox est, et si nox est, tenebrae sunt", non tamen est vera. nam praecedens consertum est falsum, hoc videlicet, nox est, et, si nox est, tenebrae sunt, quum in se ipso falsum hoc habeat, nox est; falsa enim est verborum consertio quae in se ipsa habet falsum. unde et verum argumentationem esse dicunt eam, quae ex veris sumptionibus veram colligit conclusionem. 140. rursum autem verarum argumentationum aliae sunt demonstratoriae, aliae non demonstratoriae; et demonstratoriae quidem, quae per manifesta colligunt aliquid obscurum; non demonstratoriae autem, quae non sunt tales. ut hoc quidem argumentum "si dies est, lux est: atqui dies est, lux est ergo" non est demonstrativum, nam lucem esse, quae est eius conclusio, manifestum est. tale autem "si sudores fluunt per superficiem, dantur pori, qui intellectu percipi possunt: atqui sudores fluunt per superficiem, ergo dantur pori qui intellectu percipi queunt" demonstrativa est, quippe quae conclusionem habeat obscuram hanc, pori ergo dantur qui intellectu percipi possunt. 141. ex iis autem quae aliquod obscurum colligunt aliae ephodeutice tantum sive viam veluti monstrando ducunt nos per sumptiones ad conclusionem, aliae ephodeutice simul et declarative. ephodeutice, quae ex fide et memoria pendere videntur, qualis est haec "si quis tibi deorum dixit fore ut iste ditescat, iste ditescet. hic autem deus (suppono autem ostendi Iovem) dixit

---

a) ἡμέρας οὔσης] haec verba addenda fuere ex 2 adversus Log. sect. 311 et 413.
b) εἰ νύξ ἐστι] ita mss pro ἡ νύξ.
c) ἐν ἑαυτῷ] ita eadem mss pro αὐτῷ. mox ψευδὲς γάρ ἐστι συμπεπλεγμένον scribit Salmasius pro ψεῦδος. sed id mihi repugnantibus mss non visum necessarium.
d) εἴ τίς σοι θεῶν] ita scribendum ex lib. 2 [sect. 318] adversus Logicos pro εἴ τις σοι. P 98

πλουτήσει οὗτος, πλουτήσει ἄρα οὗτος". συγκατατιθέμεθα γὰρ τῷ συμπεράσματι οὐχ οὕτως διὰ τὴν τῶν λημμάτων ἀνάγκην
142 ὡς πιστεύοντες τῇ τοῦ θεοῦ ἀποφάσει. οἱ δὲ οὐ μόνον ἐφοδευτικῶς, ἀλλὰ καὶ ἐκκαλυπτικῶς ἄγουσιν ἡμᾶς ἐπὶ τὸ συμπέρασμα, ὡς ὁ τοιοῦτος "εἰ ῥέουσι διὰ τῆς ἐπιφανείας ἱδρῶτες[e]), εἰσὶ νοητοὶ πόροι· ἀλλὰ μὴν τὸ πρῶτον, τὸ δεύτερον ἄρα". τὸ γὰρ ῥεῖν τοὺς ἱδρῶτας ἐκκαλυπτικόν ἐστι τοῦ πόρους εἶναι διὰ τὸ προειλῆφθαι ὅτι διὰ ναστοῦ σώματος ὑγρὸν οὐ δύναται φέρε-
143 σθαι. ἡ οὖν ἀπόδειξις καὶ λόγος εἶναι ὀφείλει καὶ συνακτικὸς καὶ ἀληθὴς καὶ ἄδηλον ἔχων συμπέρασμα καὶ ἐκκαλυπτόμενον ὑπὸ τῆς δυνάμεως τῶν λημμάτων. καὶ διὰ τοῦτο εἶναι λέγεται ἀπόδειξις λόγος δι' ὁμολογουμένων λημμάτων κατὰ συναγωγὴν ἐπιφορὰν ἐκκαλύπτων ἄδηλον. διὰ τούτων μὲν οὖν σαφηνίζειν εἰώθασι τὴν ἔννοιαν τῆς ἀποδείξεως.

ΚΕΦ. ιγ'.

Εἰ ἔστιν ἀπόδειξις.

144 Ὅτι δὲ ἀνύπαρκτός ἐστιν ἡ ἀπόδειξις, ἀπ' αὐτῶν ὧν λέγουσιν ἐπιλογίζεσθαι δυνατόν, ἕκαστον τῶν περιεχομένων ἐν τῇ ἐννοίᾳ διατρέποντα· οἷον γοῦν ὁ λόγος σύγκειται ἐξ ἀξιωμάτων, τὰ δὲ σύνθετα πράγματα οὐ δύναται ὑπάρχειν, ἐὰν μὴ τὰ ἐξ ὧν συνέστηκεν ἀλλήλοις συνυπάρχῃ[f]), ὡς πρόδηλον ἀπὸ κλίνης καὶ τῶν παραπλησίων, τὰ δὲ μέρη τοῦ λόγου ἀλλήλοις οὐ συνυπάρχει. ὅτε γὰρ λέγομεν τὸ πρῶτον λῆμμα, οὐδέπω ὑπάρχει οὔτε τὸ ἕτερον λῆμμα οὔτε ἡ ἐπιφορά· ὅτε δὲ τὸ δεύτερόν φαμεν, τὸ μὲν πρότερον λῆμμα οὐκέτι ὑπάρχει, ἡ δὲ ἐπιφορὰ οὐδέπω ἐστίν.

fore ut iste ditescat; ditescet ergo iste". assentimur enim conclusioni, non tam propter sumptionum necessitatem, quam quod credamus dei pronuntiationi. 142. aliae non solum ephodeutice sed etiam declarative ducunt nos ad conclusionem, ut haec "si fluunt sudores per superficiem, dantur pori quos imaginari possumus: atqui prius, ergo et posterius". nam fluere sudores est declarativum huius, videlicet poros esse; quod praeconcepta sit in animo illa opinio per solidum corpus humidum non posse ferri. 143. ergo demonstratio et argumentum esse debet et colligendi vi pollens et verum et obscuram habens conclusionem, sed quae vi sumptionum declaretur. atque ideo dicitur demonstratio esse argumentatio quae per collectionem ex sumptionibus concessis conclusionem quae obscura fuerat declarat ac manifestam facit. et haec sunt quibus demonstrationis notionem explicare solent.

CAP. XIII.

An sit demonstratio.

144. Demonstrationem autem nullam dari colligere ex iis ipsis quae dicunt licet, si quis singula eorum quae in notione demonstrationis comprehenduntur, evertat. verbi gratia argumentum ex pronuntiatis constat; res autem compositae non possunt existere, nisi ea ex quibus constant simul invicem coëxistant ut perspicuum est ex lecto et similibus, at vero partes argumenti simul non coëxistunt. dum enim dicimus priorem sumptionem, nondum existit neque altera sumptio neque conclusio; dum autem posteriorem, prior non amplius existit, conclusio vero nondum existit; dum

e) εἰ ἱδρῶτες] supra sect. 98.
f) συνυπάρχῃ] supra sect. 109.

ὅτε δὲ τὴν ἐπιφορὰν προφερόμεθα, τὰ λήμματα αὐτῆς οὐκέτι ὑφέστηκεν· οὐ συνυπάρχει ἄρα ἀλλήλοις τὰ μέρη τοῦ λόγου· ὅθεν οὐδὲ ὁ λόγος ὑπάρχειν δόξει. χωρὶς δὲ τούτων ὁ συνακτι- P 99
κὸς λόγος ἀκατάληπτός ἐστιν· εἰ γὰρ οὗτος κρίνεται ἀπὸ τοῦ 145
συνημμένου ἀκολουθίας, ἡ δὲ κατὰ τὸ συνημμένον ἀκολουθία ἀνεπικρίτως διαπεφώνηται καὶ ἔστιν ἴσως ἀκατάληπτος, ὡς ἐν τῷ περὶ σημείου λόγῳ[g]) ὑπεμνήσαμεν, καὶ ὁ συνακτικὸς λόγος ἀκατάληπτος ἔσται. οἵ γε μὴν Διαλεκτικοί[h]) φασιν ἀσύνακτον 146
λόγον γίγνεσθαι ἤτοι παρὰ διάρτησιν ἢ παρὰ ἔλλειψιν ἢ παρὰ τὸ κατὰ μοχθηρὸν ἠρωτῆσθαι σχῆμα ἢ κατὰ παρολκήν· οἷον κατὰ διάρτησιν μέν, ὅταν μὴ ἔχῃ τὰ λήμματα ἀκολουθίαν πρὸς ἄλληλά τε καὶ τὴν ἐπιφορὰν ὡς ὁ τοιοῦτος "εἰ ἡμέρα ἐστί, φῶς ἐστιν· ἀλλὰ μὴν πυροὶ ἐν ἀγορᾷ πωλοῦνται, Δίων ἄρα περιπατεῖ". παρὰ δὲ παρολκήν, ὅταν εὑρίσκηται[i]) λῆμμα παρέλκον πρὸς τὴν τοῦ λόγου συναγωγήν, οἷον "εἰ ἡμέρα ἐστί, φῶς ἐστιν· ἀλλὰ μὴν καὶ ἡμέρα ἐστίν, ἀλλὰ καὶ Δίων περιπατεῖ, φῶς ἄρα ἐστί". παρὰ δὲ τὸ ἐν μοχθηρῷ ἠρωτῆσθαι σχήματι[k]), ὅταν μὴ 147
ᾖ τὸ σχῆμα τοῦ λόγου συνακτικόν, οἷον ὄντων συλλογισμῶν[l]), ὥς φασι, τούτων, "εἰ ἡμέρα ἐστίν, φῶς ἐστιν· ἀλλὰ μὴν ἡμέρα ἐστί, φῶς ἄρα ἐστίν". "εἰ ἡμέρα ἐστί, φῶς ἐστιν[m])· οὐχὶ δὲ φῶς

porro conclusionem pronuntiamus, eius sumptiones non amplius existunt; non igitur partes argumenti invicem coëxistunt. unde ne argumentum quidem existere videbitur. 145. praeterea argumentum colligendi vim habens quale sit comprehendi nequit. nam si hoc iudicatur ex connexi consequentia, at quae consequentia connexi sit, ita controversum est, ut diiudicari non possit, et fortasse et ipsum nequit comprehendi, ut docuimus quum de signo ageremus etiam quale sit argumentum, colligendi vim habens comprehendi non poterit. 146. quia etiam ipsi Dialectici dicunt orationem fieri ineptam ad colligendum aut propter incohaerentiam aut propter omissionem aut eo quod in mala forma proposita sit aut propter superfluitatem. propter incohaerentiam, quum sumptiones non habent cohaerentiam inter se et conclusionem ut haec "si dies est, lux est: atqui frumenta in foro venduntur, ergo Dion ambulat". 147. propter superfluitatem autem, quum invenitur sumptio supervacanea ad orationis collectionem ut "si dies est, lux est: atqui etiam dies est, quin etiam Dion ambulat, lux est igitur". eo autem quod in mala forma proposita sit, quum forma orationis non est apta ad colligendum ut,

g) ἐν τῷ περὶ σημείου λόγῳ] sect. 117 seq. P 99
h) οἵ γε μὴν Διαλεκτικοί] Dialecticorum nomine Stoicos intellige, non confundendos cum antiquioribus Dialecticis Euclideis. quae autem hoc loco de quattuor vitiis argumentorum ex Stoicorum ac Chrysippi maxime τεχνολογίᾳ Sextus disserit, conferenda sunt cum libro 2 adversus Logicos sect. 429 seq.

i) ὅταν εὑρίσκηται] ita grammaticae regulae postulant pro εὑρίσκεται et habent mss.

k) σχήματι] ita mss pro voce nihili ἀσχήμοτι. in iisdem mss ὅτ' ἂν pro ὅταν. per σχῆμα autem sive formam hoc loco intelligit rationem argumenti ex connexo formandi; nam in exemplo subiecto pro vitiosa forma haberi ait, si ex consequenti colligatur antecedens, cum ex antecedente consequens colligi debeat. infra sect. 154.

l) ὄντων συλλογισμῶν] syllogismos vocat duo argumenta συνακτικὰ quae habes etiam infra sect. 157, quibus tertio loco mox λόγον opponit ἀσύνακτον. sic paullo infra pro συνακτικῷ ponit συλλογιστικόν, sect. 149.

m) εἰ ἡμέρα ἐστί, φῶς ἐστιν] verba φῶς ἐστιν exciderant, quae sensu postulante revocavi.

ἐστιν, οὐκ ἄρα ἡμέρα ἐστίν". ὁ λόγος ἀσύνακτός ἐστιν αὐτός "εἰ ἡμέρα ἐστί, φῶς ἐστιν· ἀλλὰ μὴν φῶς ἐστιν, ἡμέρα ἄρα[n])
148 *ἐστίν". ἐπεὶ γὰρ ἐπαγγέλλεται τὸ συνημμένον ἐντὸς τοῦ ἐν αὐτῷ ἡγουμένου*[o]) *εἶναι καὶ τὸ λῆγον, εἰκότως τοῦ ἡγουμένου προσλαμβανομένου ἐπάγεται καὶ τὸ λῆγον, καὶ τοῦ λήγοντος ἀναιρουμένου ἀναιρεῖται καὶ τὸ ἡγούμενον· εἰ γὰρ ἦν τὸ ἡγούμενον, ἦν ἂν καὶ τὸ λῆγον. τοῦ δὲ λήγοντος προσλαμβανομένου οὐ πάντως τίθεται καὶ τὸ ἡγούμενον· οὐδὲ γὰρ ὑπισχνεῖτο τὸ συνημμένον τῷ λήγοντι ἀκολουθεῖν τὸ ἡγούμενον· ἀλλὰ τῷ ἡγου-*
149 *μένῳ τὸ λῆγον μόνον. διὰ τοῦτο οὖν ὁ μὲν ἐκ συνημμένου καὶ τοῦ ἡγουμένου τὸ λῆγον συνάγων συλλογιστικὸς*[p]) *εἶναι λέγεται, καὶ ὁ ἐκ συνημμένου καὶ τοῦ ἀντικειμένου τοῦ λήγοντος τὸ ἀντικείμενον τῷ ἡγουμένῳ συνάγων. ὁ δὲ ἐκ συνημμένου καὶ τοῦ*
P 100 *λήγοντος τὸ ἡγούμενον συνάγων, ἀσύνακτος, ὡς ὁ προειρηκώς· παρ᾽ ὃ καὶ ἀληθῶν ὄντων τῶν λημμάτων αὐτοῦ ψεῦδος συνάγει, ὅταν λυχνιαίου φωτὸς ὄντος νυκτὸς λέγηται· τὸ μὲν γὰρ "εἰ ἡμέρα ἐστί, φῶς ἐστι" συνημμένον ἀληθές ἐστι, καὶ ἡ "ἀλλὰ μὴν φῶς ἐστι" πρόσληψις*[q]), *ἡ δὲ "ἡμέρα ἄρα" ἐπιφορὰ ψευδής.*
150 *κατὰ παράλειψιν δέ ἐστι μοχθηρὸς λόγος, ἐν ᾧ παραλείπεταί τι τῶν πρὸς τὴν συναγωγὴν τοῦ συμπεράσματος χρησιμευόντων οἷον ὑγιοῦς ὄντος, ὡς οἴονται, τοῦ λόγου τούτου "ἤτοι ἀγαθός*

quum haec sint, ut aiunt, argumenta recte colligentia "si dies est, lux est: atqui dies est, ergo lux est". "si dies est, lux est: lux autem non est, non ergo dies est". tum argumentum ineptum ad colligendum est hoc: "si dies est, lux est: atqui lux est, dies ergo est". 148. quia enim promittit connexum intra antecedens suum contineri etiam consequens, merito, quum assumitur antecedens, inducitur etiam consequens; et quum consequens tollitur, tollitur etiam antecedens. nam si existeret antecedens, existeret etiam consequens. at quum consequens assumitur, non necessario ponitur etiam antecedens; non enim promittebat connexum ex consequente sequi antecedens, sed duntaxat consequens colligi ex antecedente. 149. propterea argumentatio ea quae ex connexo et antecedente colligit consequens, recte colligere dicitur, item quae ex connexo et opposito consequentis, oppositum antecedenti colligit; at ea quae ex connexo et consequente colligit antecedens, dicitur ad colligendum inepta, ut ea quam ante diximus; quia etiamsi verae sint eius sumptiones, falsum colligit, si eam proferas noctu, quum lux est lucernae. nam hoc, "si dies est, lux est" connexum verum est, et haec assumptio est vera "atqui lux est" sed falsa est conclusio haec "dies est ergo". 150. propter omissionem autem est vitiosa argumentatio, in qua omittitur aliquid eorum quae ad colligendam conclusionem faciunt, ut, quum vera sit, ut putant, haec argumentatio "aut bonae sunt divitiae aut malae aut indiffe-

---

n) *ἀλλὰ μὴν φῶς ἐστιν, ἡμέρα ἄρα*] ita scribendum esse satis suadent quae sequuntur. antea male legebatur, *ἀλλὰ μὴν ἡμέρα ἐστί, φῶς ἄρα ἐστίν*.

o) *τοῦ ἐν αὐτῷ ἡγουμένου*] ita mss pro *ἐν ἑαυτῷ*.

p) *συλλογιστικός*] id est *συνακτικός*, recte ac firmiter concludens. prior nempe ex illis duobus syllogismis erat: *si dies est, lux est; atqui dies est, ergo lux est*, in quo ex connexo et antecedente consequens colligitur. alter: *si dies est, lux est; non est autem lux, non est ergo dies*, colligit ex connexo et consequentis opposito oppositum antecedentis. tertius contra *ἀσύνακτος*, *si dies est, lux est; atqui lux est, ergo est dies*, concludit antecedens et connexo et consequente.

P 100 q) *πρόσληψις*] subintellige, *ἀληθής*. [in antecedd. legebatur *λέγεται*.]

-ἐστιν ὁ πλοῦτος ἢ κακὸς ἢ ἀδιάφορος· οὔτε δὲ κακός ἐστιν οὔτε
ἀδιάφορος, ἀγαθὸς ἄρα ἐστίν" φαῦλός ἐστι παρὰ ἔλλειψιν οὗτος
ὁ λόγος "ἤτοι ἀγαθός ἐστιν ὁ πλοῦτος ἢ κακός· οὐκ ἔστι δὲ
κακός, ἀγαθὸς ἄρα ἐστίν". ἐὰν οὖν δείξω ὅτι οὐδεμία διαφορὰ 151
τῶν ἀσυνάκτων διακρίνεσθαι δύναται κατ' αὐτοὺς ἀπὸ τῶν συν-
ακτικῶν, ἔδειξα ὅτι ἀκατάληπτός ἐστιν ὁ συνακτικὸς λόγος, ὡς
περιττὰς εἶναι τὰς κατὰ διαλεκτικὴν αὐτοῖς φερομένας ἀπειρο-
λογίας.[r]) δείκνυμι δὲ οὕτως· ὁ κατὰ διάρτησιν[s]) ἀσύνακτος λό- 152
γος ἐλέγετο ἐγνωρίσθαι ἐκ τοῦ μὴ ἔχειν ἀκολουθίαν τὰ λήμματα
αὐτοῦ πρὸς ἄλληλα καὶ τὴν ἐπιφοράν. ἐπεὶ οὖν τῆς γνώσεως
τῆς ἀκολουθίας ταύτης δεῖ προηγεῖσθαι τὴν κρίσιν τοῦ συνημ-
μένου, ἀνεπίκριτον δέ ἐστι τὸ συνημμένον, ὡς ἐπελογισάμην[t]),
ἔσται καὶ[u]) ὁ κατὰ διάρτησιν ἀσύνακτος λόγος. καὶ γὰρ ὁ λέ-
γων κατὰ διάρτησιν ἀσύνακτον εἶναί τινα λόγον, φάσιν μὲν προ-
φερόμενος μόνην, ἀντιτιθεμένην αὐτῷ φάσιν ἕξει τὴν ἀντικειμέ-
νην τῇ προειρημένῃ· ἀποδεικνὺς δὲ διὰ λόγου ἀκούσεται ὅτι δεῖ
τὸν λόγον τοῦτον πρότερον συνακτικὸν εἶναι, εἶθ' οὕτως ἀπο-
δεικνύειν ὅτι ἀσυνάρτητα τὰ λήμματα τοῦ διηρτῆσθαι λεγομένου
λόγου. οὐ γνωσόμεθα δὲ εἰ ἔστιν ἀποδεικτικός, μὴ ἔχοντες συν- 153
ημμένου σύμφωνον κρίσιν, ἢ κρινοῦμεν εἰ ἀκολουθεῖ τῇ διὰ τῶν
λημμάτων τοῦ λόγου συμπλοκῇ τὸ συμπέρασμα. καὶ κατὰ τοῦτο[x])

rentes: at neque malae sunt, neque indifferentes, ergo bonae sunt"; vitiosum est quod sequitur argumentum propter omissionem "aut bonae sunt divitiae, aut malae, at malae non sunt, ergo sunt bonae". 151. itaque si ostendero nullam posse secundum eos differentiam statui ac diiudicari inter argumenta colligendi vim habentia et ea quae ad colligendum inepta sunt, ostensum a me fuerit comprehendi non posse quae demum sit colligendi vim habens argumentatio, adeo ut supervacanea sit illa immensa quae ab iis in dialectica affertur verbositas. sic autem illud ostendo: 152. argumentum propter incohaerentiam dicebatur ineptum ad colligendum cognosci ex eo, quod eius sumptiones bonam inter se ipsas et inter conclusionem non haberent consecutionem. quoniam igitur diiudicatio connexi debet cognitionem huius consecutionis anteire, connexum autem diiudicari nequit, ut supra disputavimus; diiudicari etiam non poterit quodnam sit argumentum quod propter incohaerentiam connexi ineptum sit ad concludendum. nam qui dicit aliquod argumentum esse ineptum ad colligendum propter incohaerentiam, si enuntiationem solam proferat qua hoc affirmet, opponetur illi contraria enuntiatio; sin demonstret per argumentum, illi dicetur debere argumentum hoc prius colligendi vi pollere, et tum demum ostendere non cohaerentes esse sumptiones argumenti quod incohaerentia laborare dicitur. 153. neque vero sciemus sitne argumentum illud demonstrativum, quippe qui non habeamus connexi diiudicationem uno omnium consensu approbatam, qua iudicemus an conclusio sequatur ex connexione sumptionum argumenti. quocirca etiam secundum hoc ab argu-

---

r) *αὐτοῖς φερομένας ἀπειρολογίας*] recte reprehendit prolixitatem et verbositatem subtilem Stoicorum, qui tricis dialecticis sexcenta volumina impleverant, solius enim Chrysippi exstabant plus quam trecenta. *ματαιοπονίαν* vocat infra sect. 206 *περιττά* et *μάτην πεπονημένα* sect. 236.

s) *κατὰ διάρτησιν*] supra sect. 146. est autem *διάρτησις* incohaerentia, cui sect. 111 *συνάρτησις* opponitur.

t) *ὡς ἐπελογισάμην*] sect. 110 seq.

u) *ἔσται καὶ*] *ἀνεπίκριτος* videlicet. statim pro *καὶ ὁ κατὰ διάρτησιν*, ms Vratislav. habet *καὶ ὁ κατὰ διαίρεσιν*, vitiose.

x) *καὶ κατὰ τοῦτο*] ita mss pro *εὖ κατὰ ταῦτα*.

οὖν οὐχ ἕξομεν διακρίνειν τῶν συνακτικῶν τὸν κατὰ διάρτησιν
154 μοχθηρὸν εἶναι λόγον. τὰ δὲ αὐτὰ ἐροῦμεν πρὸς τὸν λέγοντα
P 101 μοχθηρὸν εἶναι λόγον τινὰ παρὰ τὸ ἐν φαύλῳ σχήματι y) ἠρω-
τῆσθαι· ὁ γὰρ κατασκευάζων ὅτι μοχθηρόν τι σχῆμά ἐστιν, οὐχ
ἕξει ὁμολογούμενον συνακτικὸν λόγον δι᾽ οὗ δυνήσεται συνάγειν
155 ὅ φησι. δυνάμει δὲ ἀντειρήσθω z) διὰ τοῦτο καὶ πρὸς τοὺς
πειρωμένους παρ᾽ ἔλλειψιν a) ἀσυνάκτους λόγους εἶναι δεικνύναι.
εἰ γὰρ ὁ ἐντελὴς ἀπηρτισμένος ἀδιάκριτός ἐστι, καὶ ὁ ἐν ἐλλεί-
ψει ἄδηλος ἔσται. καὶ ὅτι ὁ διὰ λόγου δεικνύναι τινὰ ἐλλιπῆ
βουλόμενος λόγον, μὴ ἔχων συνημμένου κρίσιν ὡμολογημένην,
δι᾽ ἧς κρίνειν δυνήσεται τὴν ἀκολουθίαν τοῦ ὑπ᾽ αὐτοῦ λεγο-
μένου λόγου οὐ δυνήσεται κεκριμένως καὶ ὀρθῶς λέγειν ὅτι ἐλ-
156 λιπής ἐστιν. ἀλλὰ καὶ ὁ κατὰ παρολκὴν b) λεγόμενος εἶναι μοχθη-
ρὸς ἀδιάκριτός ἐστιν ἀπὸ τῶν ἀποδεικτικῶν· ὅσον γὰρ ἐπὶ τῇ
παρολκῇ καὶ οἱ θρυλούμενοι παρὰ τοῖς Στωϊκοῖς ἀναπόδεικτοι c)
ἀσύνακτοι εὑρεθήσονται, ὧν ἀναιρουμένων ἡ πᾶσα διαλεκτικὴ d)
ἀνατρέπεται· οὗτοι γάρ εἰσιν οὕς φασιν ἀποδείξεως μὲν μὴ δεῖ-
σθαι πρὸς τὴν ἑαυτῶν σύστασιν, ἀποδεικτικοὺς δὲ ὑπάρχειν τοῦ

mento colligendi vim habente discernere illud quod propter incohaerentiam vitiosum sit, non bene poterimus. 154. eadem autem obiiciemus ei qui vitiosam esse argumentationem dixerit propterea, quod in vitiosa forma proposita fuerit. nam qui astruit vitiosam esse aliquam formam, non habebit confessum et indubitatum argumentum colligendi vim habens ex quo possit inferre quod dicit. 155. ex his antem possint etiam illi refutari, qui argumentum fieri ineptum ad colligendum propter omissionem conantur ostendere. nam si perfectum argumentum quodnam sit, et cui nihil deest, diiudicari nequit, illud quoque in quo est facta omissio, obscurum erit futurum. praeterea qui argumento vult ostendere alicui argumentationi quidpiam deesse, nisi habeat connexi indicationem confessam, ex qua consecutionem argumenti quod affert, diiudicet, nequaquam poterit certo iudicio et recte affirmare illud defectum aliquem habere. 156. iam vero et illud genus argumenti quod vitiosum esse dicitur propter superfluitatem, per demonstrativa argumenta diiudicari et discerni nequit. nam quantum ad superfluitatem, etiam eae quae apud Stoicos tantopere celebrantur argumentationes indemonstrabiles, comperientur esse ad colligendum ineptae, quae si tollantur, universa dialectica evertitur. hae enim sunt quas dicunt demonstratione quidem non egere ad sui confirmationem, sed per eas demonstrari, quod alia argumenta recte colligant.

P 101 y) ἐν φαύλῳ σχήματι] supra sect. 147.

z) ἀντειρήσθω] ita ms Vratisl. pro vitioso ἀντειρήσομεν.

a) παρ᾽ ἔλλειψιν] supra sect. 150.

b) ὁ κατὰ παρολκὴν] sect. 147.

c) οἱ θρυλούμενοι παρὰ τοῖς Στωϊκοῖς ἀναπόδεικτοι] indemonstrabilia appellabant argumenta Stoici quae rem demonstrant cum ipsa quidem nulla alia indigeant demonstratione μὴ χρῄζοντα ἀποδείξεως Laërt. 7 79. horum plura distinguebant genera, de quibus Sextus noster deinceps disserit. non vero Stoici tantum sed Peripatetici etiam suos habuere λόγους quos ἀναποδείκτους vocarunt, de quibus infra sect. 194 seq. ab Aristotele 1 Analyt. consimiliter τέλειοι συλλογισμοί definiuntur οἱ μηδενὸς ἄλλου προσδεόμενοι παρὰ τὰ εἰλημμένα πρὸς τὸ φανῆναι τὸ ἀναγκαῖον. Chrysippi liber περὶ τῶν πρώτων καὶ ἀναποδείκτων adversus Zenonem memoratus a Laërtio 7 195.

d) ἡ πᾶσα διαλεκτική] infra sect. 166, 194. Cicero Lucullo c. 30.

καὶ τοὺς ἄλλους συνάγειν λόγους. ὅτι δὲ παρέλκουσιν[e] ἔσται σαφές, ἐκθεμένων ἡμῶν τοὺς ἀναποδείκτους, καὶ οὕτως ὃ φαμὲν ἐπιλογιζομένων. πολλοὺς μὲν ἀναποδείκτους ὀνειροπολοῦσι[f], πέντε 157
δὲ τούτους μάλιστα ἐκτίθενται, εἰς οὓς οἱ λοιποὶ πάντες ἀναφέρεσθαι δοκοῦσι. πρῶτον[g] τὸν ἐκ συνημμένου καὶ τοῦ ἡγουμένου τὸ λῆγον συνάγοντα, οἷον "εἰ ἡμέρα ἐστί, φῶς ἐστιν· ἀλλὰ μὴν ἡμέρα ἐστί, φῶς ἄρα ἐστίν"· δεύτερον τὸν ἐκ συνημμένου καὶ τοῦ ἀντικειμένου τοῦ λήγοντος τὸ ἀντικείμενον τοῦ ἡγουμένου συνάγοντα, οἷον "εἰ ἡμέρα ἐστί, φῶς ἐστιν· οὐκ ἔστι δὲ φῶς, οὐκ ἄρα ἡμέρα ἐστίν". τρίτον τὸν ἐξ ἀποφατικοῦ συμπλοκῆς καὶ 158
ἑνὸς τῶν ἐκ τῆς συμπλοκῆς τὸ ἀντικείμενον τοῦ λοιποῦ συνάγοντα, οἷον "οὐχὶ ἡμέρα ἐστί, καὶ νὺξ ἐστιν· ἡμέρα δέ ἐστιν, P 102
οὐκ ἄρα νύξ ἐστι". τέταρτον τὸν ἐκ διεζευγμένου[h] καὶ ἑνὸς τῶν διεζευγμένων τὸ ἀντικείμενον τοῦ λοιποῦ συνάγοντα, οἷον, "ἤτοι ἡμέρα ἐστὶν ἢ νύξ ἐστιν· ἡμέρα δέ ἐστιν, οὐκ ἄρα νύξ ἐστι." πέμπτον[i] τὸν ἐκ διεζευγμένου καὶ τοῦ ἀντικειμένου ἑνὸς τῶν διεζευγμένων τὸ λοιπὸν συνάγοντα, οἷον "ἤτοι ἡμέρα ἐστὶν ἢ

Inesse autem illis indemonstrabilibus argumentationibus superfluitatem manifestum erit, ubi illas exposuerimus, atque ita hoc quod dicimus probatum dederimus. 157. multas quidem indemonstrabiles somniant, sed has quinque potissimum exponunt, ad quas reliquae omnes referri videntur. primam, ex connexo et antecedente colligentem consequens, ut "si dies est, lux est; atqui dies est, lux est ergo". secundam, quae ex connexo et contrario consequentis contrarium antecedentis colligit, ut "si dies est, lucet, non lucet autem, non igitur est dies". 158. tertiam, quae ex negativa propositione copulativa et ex positione unius eorum quae in copulativa sunt, contrarium reliqui colligit, ut "non dies est et nox est; dies autem est, non igitur nox est". quartam, quae ex propositione disiunctiva et uno disiunctorum contrarium reliqui colligit, ut "aut dies est, aut nox est, dies autem est, non igitur nox est". quintam, quae ex disiunctiva et contrario unius disiunctorum reliquum colligit, ut "aut dies est aut nox est; nox autem non est, dies

---

e) ὅτι δὲ παρέλκουσιν] ita ex mss reposui pro ὅτι. referebant Stoici inter vitia argumentorum illud quod committitur κατὰ παρολκήν, si quid superfluat in illis haud necessarium. supra sect. 147 et 2 contra Log. sect. 294. Chrysippi libri duo περὶ τῶν παρελκόντων λόγων adversus Pasylum, Laërt. 7 195. itaque noster ut argumenta quae ab illis iactantur indemonstrabilia et ἀναπόδεικτα refellat, et ἀσύνακτα esse ostendat, contendit in illis aliquid posse abesse, et propositionem unam superfluere, infra sect. 159 seq. 166, 175.

f) πολλοὺς μὲν ἀναποδείκτους ὀνειροπολοῦσι] ab aliorum Stoicorum sententia recesserat Chrysippus, qui in sua περὶ συλλογισμῶν εἰσαγωγῇ genera plura argumentorum ἀναποδείκτων reduxerat ad haec quinque, quae Sextus deinde exponit. confer si lubet lib. 2 contra Logicos sect. 216, 223 seq. et Laërtium 7 80 seq. secundi et quinti ἀναποδείκτου meminit Simplicius in 1 Physicor. p. 20, ut δευτέρου τῶν ὑποθετικῶν p. 35 b. et 97. 222 b. 224 b.

g) πρῶτον] primum recte concludendi modum ex Stoicorum sententia vocat etiam Cicero c. 30 libri 4 Academ. quaest. atque idem primi et secundi modi exemplum attulit noster sect. 147, 149 et infra sect. 198 seq.

h) ἐκ διεζευγμένου] ita mss rectius pro διαζευγμένου, quemadmodum P 102
et διεζ. saepius infra legitur.

i) πέμπτον] vide supra lib. 1 sect. 69.

159 νὺξ ἐστιν· οὐχὶ δὲ νύξ ἐστιν· ἡμέρα ἄρα ἐστίν". οὗτοι μὲν οὖν εἰσιν οἱ θρυλούμενοι ἀναπόδεικτοι. πάντες δέ μοι δοκοῦσιν ἀσύνακτοι εἶναι κατὰ παρολκήν. αὐτίκα γοῦν, ἵνα ἀπὸ τοῦ πρώτου ἀρξώμεθα, ἤτοι ὁμολογεῖται ὅτι ἀκολουθεῖ τὸ φῶς ἐστι τῷ ἡμέρα ἐστίν k), ἡγουμένῳ αὐτῷ ἐν τῷ "εἰ ἡμέρα ἐστί l), φῶς ἐστι" συνημμένῳ m), ἢ ἄδηλόν ἐστιν. ἀλλ' εἰ μὲν ἄδηλόν ἐστιν, οὐ δώσομεν τὸ συνημμένον ὡς ὁμολογούμενον, εἰ δὲ πρόδηλόν ἐστιν ὅτι ὄντος τοῦ ἡμέρα ἐστὶν ἐξ ἀνάγκης n) ἐστὶ καὶ τὸ φῶς ἐστιν, εἰπόντων ἡμῶν ὅτι ἡμέρα ἐστί, συνάγεται καὶ τὸ φῶς ἐστιν, ὡς ἀρκεῖν τὸν τοιοῦτον λόγον "ἡμέρα ἐστί, φῶς ἄρα ἐστί", καὶ παρ-
160 έλκειν τὸ "εἰ ἡμέρα ἐστί, φῶς ἐστι o)" συνημμένον. ὁμοίως δὲ φερόμεθα καὶ ἐπὶ τοῦ δευτέρου ἀναποδείκτου· ἤτοι γὰρ ἐνδέχεται τοῦ λήγοντος μὴ ὄντος εἶναι τὸ ἡγούμενον, ἢ οὐκ ἐνδέχεται· ἀλλ' εἰ μὲν ἐνδέχεται, οὐκ ἔσται ὑγιὲς τὸ συνημμένον, εἰ δὲ οὐκ ἐνδέχεται, ἅμα τῷ τεθῆναι τὸ οὐχί, τὸ λῆγον, τίθεται καὶ τὸ οὐχί, τὸ ἡγούμενον, καὶ παρέλκει πάλιν τὸ συνημμένον, τῆς συνερωτήσεως τοιαύτης γινομένης "οὐχὶ φῶς ἐστιν· οὐκ ἄρα
161 ὅτι ἡμέρα ἐστίν". ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ τρίτου ἀναποδείκτου· ἤτοι γὰρ πρόδηλόν ἐστιν ὅτι οὐκ ἐνδέχεται τὰ ἐν τῇ συμπλοκῇ συνυπάρξαι ἀλλήλοις, ἢ ἄδηλον· καὶ εἰ μὲν ἄδηλον, οὐ δώσομεν τὸ ἀποφατικὸν τῆς συμπλοκῆς, εἰ δὲ πρόδηλον, ἅμα

est igitur. 159. hae sunt argumentationes quae celebrantur indemonstrabiles, quae omnes mihi videntur propter superfluitatis vitium ineptae ad colligendum esse. nam, ut a prima incipiamus, aut confessum et indubitatum est ex hoc, si dies est, consequi illud, lux est, quod praecedit illud in isto connexo "si dies est, lux est"; aut incertum est. ac si quidem est incertum, non concedemus connexum tamquam indubitatum; sin est certum hoc posito, dies est, necessario esse illud, lux est, certe postquam diximus, dies est, colligitur etiam illud, lux est; adeo ut haec collectio sufficiat "dies est, lux ergo est", et supervacaneum sit illud connexum "si dies est, lux est". 160. eandem viam tenemus et in impugnanda secunda indemonstrabili; aut enim fieri potest ut non existente consequente existat antecedens, aut fieri non potest: sed siquidem fieri potest, non erit verum connexum; at si fieri non potest, simulatque negatur consequens, negatur etiam antecedens; adeo ut supervacaneum sit rursus connexum, quum satis sit argumentum ita proponi "non est lux, non est igitur dies". 161. eadem ratio est et in tertia indemonstrabili; aut enim certum est fieri non posse ut ea quae in copulativa propositione coniunguntur, invicem coëxistant, aut incertum, et siquidem incertum, non concedemus negativam copulativam; sin est certum, simulatque alterum po-

k) τὸ φῶς ἐστι τῷ ἡμέρα ἐστίν] ita recte mss pro τῷ φῶς ἐστι τὸ ἡμέρα ἐστί.

l) εἰ ἡμέρα ἐστί] in editis εἰ male exciderat.

m) συνημμένῳ] Salmasius in codice suo scripserat συνημμένον. sed nihil mutandum; sensus enim est quod in hoc connexo ἐν τῷ συνημμένῳ, si dies est, lux est ex antecedente sive ἡγουμένῳ hoc: si dies est, sequitur consequens, lux est.

n) ἐξ ἀνάγκης] semel monuisse sufficiat in mss codicibus frequenter eiusmodi coniuncta cum praepositione vel coniunctione nomina scribi ut unicum vocabulum, ἐξανάγκης, sic alibi διαβραχέων καταμέρος ἐπιμέρους οὐδέτερον ὅταν pro ὅτ' ἄν, καταμέρη οὐκέτι καθέκαστον τουτέστι οὐκοῦν κατιδίαν ἐξύλου et similia.

o) εἰ ἡμέρα ἐστί, φῶς ἐστι] iterum εἰ quod in editis exciderat e mss revocavi.

τῷ τεθῆναι τὸ ἕτερον ἀναιρεῖται τὸ λοιπὸν, καὶ παρέλκει τὸ ἀποφατικὸν τῆς συμπλοκῆς, οὕτως ἡμῶν ἐρωτώντων "ἡμέρα ἐστίν, οὐκ ἄρα νύξ ἐστι". τὰ δὲ παραπλήσια λέγομεν καὶ ἐπὶ τοῦ τετάρ- 162
του p) καὶ ἐπὶ τοῦ πέμπτου ἀναποδείκτου· ἤτοι γὰρ πρόδηλόν ἐστιν ὅτι ἐν τῷ διεζευγμένῳ τὸ μὲν ἀληθές ἐστι, τὸ δὲ ψευδές, μετὰ μάχης τελείας (ὅπερ ἐπαγγέλλεται τὸ διεζευγμένον) ἢ ἄδηλον. καὶ εἰ μὲν ἄδηλον, οὐ δώσομεν τὸ διεζευγμένον, εἰ δὲ πρόδηλον, τεθέντος ἑνὸς ἀπ' αὐτῶν φανερόν ἐστιν ὅτι τὸ λοιπὸν οὐκ ἔστι, καὶ ἀναιρεθέντος ἑνὸς πρόδηλον ὅτι τὸ λοιπὸν P 103
ἔστιν· ὡς ἀρκεῖν συνερωτᾶν οὕτως "ἡμέρα ἐστίν, οὐκ ἄρα νύξ ἐστιν· οὐχὶ ἡμέρα ἐστίν, νὺξ ἄρα ἐστί", καὶ παρέλκειν τὸ διεζευγμένον. παραπλήσια δὲ λέγειν ἔνεστι καὶ περὶ τῶν κατηγορι- 163
κῶν καλουμένων συλλογισμῶν q), οἷς μάλιστα χρῶνται οἱ ἀπὸ τοῦ περιπάτου. οἷον γοῦν ἐν τούτῳ τῷ λόγῳ "τὸ δίκαιον καλόν, τὸ καλὸν ἀγαθόν, τὸ δίκαιον ἄρα ἀγαθόν" ἤτοι ὁμολογεῖται καὶ πρόδηλόν ἐστιν ὅτι τὸ καλὸν ἀγαθόν ἐστιν, ἢ ἀμφισβητεῖται καὶ ἔστιν ἄδηλον. ἀλλ' εἰ μὲν ἄδηλόν ἐστιν, οὐ δοθήσεται κατὰ τὴν τοῦ λόγου συνερώτησιν, καὶ διὰ τοῦτο οὐ συνάξει ὁ συλλογισμός, εἰ δὲ πρόδηλόν ἐστιν ὅτι πᾶν ὅπερ ἐὰν *) ᾖ καλόν, τοῦτο πάντως καὶ ἀγαθόν ἐστιν, ἅμα τῷ λεχθῆναι ὅτι τόδε τι καλόν ἐστι, συνεισάγεται καὶ τὸ ἀγαθὸν αὐτὸ εἶναι, ὡς ἀρκεῖν τὴν τοιαύτην συνερώτησιν "τὸ δίκαιον καλόν, τὸ δίκαιον ἄρα ἀγαθόν" καὶ παρέλκειν τὸ ἕτερον λῆμμα ἐν ᾧ τὸ καλὸν ἀγαθὸν εἶναι ἐλέγετο. ὁμοίως δὲ καὶ ἐν τῷ τοιούτῳ λόγῳ "Σωκράτης ἄνθρωπος r), πᾶς 164

situm est, tollitur alterum et superflua est negatio copulativae, quum nos ita argumentum efferre possimus "dies est, non igitur nox est". 162. eadem dicimus et in quarta et in quinta indemonstrabili; aut enim certo compertum est in disiunctiva alterum quidem esse verum, alterum autem falsum, cum pugna perfecta (quod promittit disjunctum) aut incertum. et si quidem est incertum, non concedemus disiunctum; si autem certum, posito uno illorum, manifestum est non esse alterum, et sublato uno, manifestum est alterum esse; adeo ut tali propositione uti sufficiat "dies est, non igitur nox est: non est dies, nox est ergo" et supervacanea sit disiunctiva propositio. 163. his similia dici possunt et de categoricis quos vocant syllogismis, quibus maxime utuntur Peripatetici, quale est hoc argumentum "iustum est honestum; honestum est bonum, ergo iustum est bonum" aut pro confesso habetur et certo patet honestum esse bonum, aut in dubio versatur, nec certo compertum est. sed si quidem incertum est, non concedetur in proposita argumentatione, et propterea nec colliget syllogismus; at si certum est quicquid sit honestum hoc omnino esse etiam bonum, simul atque dictum est, hoc vel illud esse honestum, simul colligitur etiam bonum esse; adeo ut sufficiat ita proponere "iustum est honestum, iustum igitur est bonum", et supervacanea sit altera sumptio in qua honestum esse dicebatur bonum. 164. similiter et in hoc argumento "Socrates est homo; omnis homo est animal, Socrates ergo est ani-

p) καὶ ἐπὶ τοῦ τετάρτου] ita mss. in editis καὶ deest.

q) κατηγορικῶν συλλογισμῶν] Aristoteles in Analyticis plurimum tribuit syllogismo categorico, exemplum autem quod Sextus affert primum exstat in Platonis Alcibiade. P 103

[*) ἂν?]

r) Σωκράτης ἄνθρωπος] syllogismus et hic et superior est in figura syllogismi quarta, quam Galenicam auctore Averroë vulgo appellant. nihil autem aliud est quam prima figura inversa, ita ut minor propositio

ἄνθρωπος ζῷον, Σωκράτης ἄρα ζῷον", εἰ μὲν οὐκ ἔστι πρόδηλον αὐτόθεν ὅτι πᾶν ὅ τι περ ἐὰν *) ᾖ ἄνθρωπος, τοῦτο καὶ ζῷόν ἐστιν, οὐχ ὁμολογεῖται ἡ καθόλου πρότασις, οὐδὲ δώσομεν αὐ-
165 τὴν ἐν τῇ συνερωτήσει· εἰ δὲ ἕπεται τοῦ ἀνθρώπου τι εἶναι τὸ καὶ ζῷον αὐτὸν ὑπάρχειν, καὶ διὰ τοῦτο ἀληθής ἐστιν ὁμολογουμένως ἡ "πᾶς ἄνθρωπος ζῷον" πρότασις, ἅμα τῷ λεχθῆναι ὅτι Σωκράτης ἄνθρωπος συνεισάγεται καὶ τὸ ζῷον αὐτὸν εἶναι, ὡς ἀρκεῖν τὴν τοιαύτην συνερώτησιν "Σωκράτης ἄνθρωπος, Σωκράτης ἄρα ζῷον" καὶ παρέλκειν τὴν "πᾶς ἄνθρωπος ζῷον" πρό-
166 τασιν. παραπλησίαις δὲ μεθόδοις καὶ ἐπὶ τῶν ἄλλων πρώτων κατηγορικῶν s) λόγων χρῆσθαι δυνατόν ἐστιν, ἵνα μὴ νῦν ἐνδιατρίβωμεν. πλὴν ἐπεὶ παρέλκουσιν οὗτοι οἱ λόγοι, ἐν οἷς τὴν ὑποβάθραν τῶν συλλογισμῶν οἱ Διαλεκτικοὶ τίθενται, ὅσον ἐπὶ τῇ παρολκῇ t) διατρέπεται πᾶσα ἡ διαλεκτική, μὴ δυναμένων ἡμῶν διακρίνειν τοὺς παρέλκοντας καὶ διὰ τοῦτο ἀσυνάκτους λό-
167 γους ἀπὸ τῶν συνακτικῶν καλουμένων συλλογισμῶν. εἰ δὲ οὐκ
P 104 ἀρέσκει τισὶ λόγους μονολημμάτους u) εἶναι, οὐκ εἰσὶν ἀξιοπιστότεροι Ἀντιπάτρου x), ὃς οὐδὲ τοὺς τοιούτους λόγους ἀποδοκιμάζει. διὰ ταῦτα μὲν οὖν ἀνεπίκριτός ἐστιν ὁ παρὰ τοῖς Δια-

mal", si certum non est ex se ipso, quodcumque fuerit homo, id esse animal, non est confessa universalis propositio, neque dabimus illam quum argumentatio infertur. 165. at si protinus ut aliquid fuerit homo sequitur id esse animal, et propterea vera est indubitate haec propositio "omnis homo est animal", simulatque dictum est Socratem esse hominem, simul colligitur ipsum esse animal; adeo ut hanc argumentationem inferre sit satis "Socrates est homo, Socrates ergo est animal" et supervacanea sit propositio ista "omnis homo est animal". 166. similibus autem methodis in aliis primis categoricis argumentationibus uti possumus, ne nunc diutius huic rei immoremur. verum enimvero quum vitiosa sint propter superfluitatem haec argumenta, in quibus syllogismorum fundamentum Dialectici ponunt, ratione huius superfluitatis evertitur tota Dialectica; quum adeo argumenta propter superfluitatem vitiosa ideoque ad colligendum inepta a syllogismi colligendi vim habentibus diiudicare nequeamus. 167. quodsi non placet quibusdam argumentationes constare unica sumptione, non sunt illi fide digniores quam Antipater, qui ne huiusmodi quidem argumentationes reiicit. his igitur de causis diiudicari nequit argumen-

maioris, et maior minoris loco ponatur. hinc et Alcinous priorem syllogismum ex Platonis Alcibiade repetens c. 6. Isagoges ait Platonem in prima figura argumentatum esse. atque tales syllogismos post Aristotelem Theophrastum atque Eudemum ad primam refert figuram Boëthius lib. 2 de syllogismo categorico.

[*) ἂν ?]

s) πρώτων κατηγορικῶν] syllogismos alios categoricos in prima figura intellige.

t) ὅσον ἐπὶ τῇ παρολκῇ] vitium enim hoc, quod argumentum facit ἀσύνακτον secundum Stoicos, ut dictum sect. 147.

u) λόγους μονολημμάτους] argumenta in quibus non duae ut in perfectis syllogismis, sed tantum unica est praemissa, quae jam Sextus disputavit sufficere, ut *dies est, lucet igitur: non lucet, non est igitur dies. iustum est honestum, iustum igitur est bonum. Socrates est homo, Socrates igitur est animal.*

P 104 x) Ἀντιπάτρου] Antipater Tarsensis intelligitur, Stoicus celebris, discipulus Diogenis Babylonii et Panaetii Rhodii Magister, de quo dixi libro 3 Bibliothecae Graecae cap. 15. idem ex Antipatro refert noster 2 contra Logicos sect. 444, ubi eum e numero τῶν ἐν τῇ Στοϊκῇ ἐπιφανεστάτων ἀνδρῶν fuisse testatur.

λεκτικοῖς συνακτικὸς καλούμενος λόγος. ἀλλὰ καὶ ὁ ἀληθὴς λόγος ἀνεύρετός ἐστι διά τε τὰ προειρημένα y) καὶ ἐπεὶ πάντως ὀφείλει εἰς ἀληθὲς λήγειν z)· τὸ γὰρ συμπέρασμα τὸ ἀληθὲς εἶναι λεγόμενον ἤτοι φαινόμενόν ἐστιν ἢ ἄδηλον· καὶ φαινόμενον 168
μὲν οὐδαμῶς· οὐ γὰρ ἂν δέοιτο τοῦ διὰ τῶν λημμάτων ἐκκαλύπτεσθαι δι' ἑαυτοῦ πρόπιπτον, καὶ οὐχ ἧττον τῶν λημμάτων αὐτοῦ φαινόμενον οὐδὲ ἄδηλον a), ἐπεὶ περὶ τῶν ἀδήλων ἀνεπικρίτως διαπεφώνηται (καθάπερ ἔμπροσθεν ὑπεμνήσαμεν) διόπερ καὶ ἀκατάληπτά ἐστιν· ἀκατάληπτον ἔσται καὶ τὸ συμπέρασμα τοῦ ἀληθοῦς εἶναι b) λεγομένου λόγου. εἰ δὲ καὶ τοῦτο ἀκατάληπτόν ἐστιν, οὐ γνωσόμεθα πότερον ἀληθές ἐστι τὸ συναγόμενον, ἢ ψεῦδος *). ἀγνοήσομεν οὖν πότερον ἀληθής ἐστιν ὁ λόγος ἢ ψευδής, καὶ ἀνεύρετος ἔσται ὁ ἀληθὴς λόγος. ἵνα δὲ 169
καὶ ταῦτα παρῶμεν, ὁ διὰ προδήλων ἄδηλον συνάγων ἀνεύρετός ἐστιν· εἰ γὰρ ἕπεται τῇ διὰ τῶν λημμάτων αὐτοῦ συμπλοκῇ ἡ ἐπιφορά, τὸ δ' ἑπόμενον καὶ τὸ λῆγον πρός τί ἐστι καὶ πρὸς τὸ ἡγούμενον, τὰ δὲ πρός τι συγκαταλαμβάνεται ἀλλήλοις c) (ὡς παρεστήσαμεν) εἰ μὲν ἄδηλόν ἐστι τὸ συμπέρασμα, ἄδηλα ἔσται καὶ τὰ λήμματα, εἰ δὲ πρόδηλά ἐστι τὰ λήμματα, πρόδηλον ἔσται καὶ τὸ συμπέρασμα, ἅτε συγκαταλαμβανόμενον d) αὐτοῖς οὖσιν· ὡς μηκέτι ἐκ προδήλων ἄδηλον συνάγεσθαι. διὰ δὲ ταῦτα οὐδὲ ἐκκαλύπτεται ὑπὸ τῶν λημμάτων ἡ ἐπιφορά, 170

tatio ea quae a Dialecticis colligendi vim habere dicitur. sed et quaenam vera sit inveniri nequit, tum ob ea quae diximus, tum quoniam necessario debet in verum consequens desinere; nam conclusio quae vera esse dicitur, aut evidens est aut obscura. 168. et evidens quidem minime esse possit, nihil enim indigeret sumptionibus a quibus declararetur, si per se ipsam sub sensus nostros caderet, nec ipsamet certe minus quam praemissae illi sumptiones, evidens esset: sin est obscura, quoniam de obscuris indiiudicabilis exstitit hactenus controversia (ut antea docuimus) unde et incomprehensibilia sunt, incomprehensibilis etiam erit conclusio eius argumentationis quae vera esse dicitur. quodsi haec sit incomprehensibilis, nequaquam dignoscemus verumne sit quod colligitur an falsum. ignorabimus igitur vera sit argumentatio necne, invenirique illa nulla ratione poterit. 169. ut autem haec quoque omittamus, argumentatio quae per evidentia colliget obscurum, inveniri non potest. si enim conclusio sequitur ex consertione quae est inter ipsius argumenti sumptiones, at consequens et posterior sumptio est ex iis quae ad aliquid referuntur, nempe ad antecedens: quae autem sunt relata et ad aliquid referuntur, comprehenduntur simul invicem (ut ostendimus), si quidem obscura sit conclusio, obscurae erunt etiam sumptiones; sin evidentes fuerint sumptiones, evidens erit etiam conclusio, utpote quae comprehendatur cum illis, quae quidem sunt evidentes, adeo ut non amplius ex manifestis obscurum colligatur. 170. quae quum ita sint, ne ipsam quidem conclusionem sumptiones

y) διά τε τὰ προειρημένα] supra sect. 85 seq.

z) εἰς ἀληθὲς λήγειν] vide sect. 138.

a) οὐδὲ ἄδηλον] ita recte mss pro εἰ δέ.

b) ἀληθοῦς εἶναι] ms Vratislav. ἀληθὲς εἶναι.

[*) ψευδές?]

c) συγκαταλαμβάνεται ἀλλήλοις] supra sect. 119, 125 etc. infra 179 et lib. 2 sect. 7.

d) ἅτε συγκαταλαμβανόμενον] sic mss pro ὥστε.

ἤτοι ἄδηλος οὖσα καὶ μὴ καταλαμβανομένη, ἢ πρόδηλος καὶ
μὴ δεομένη τοῦ ἐκκαλύψοντος [c]). εἰ τοίνυν ἡ ἀπόδειξις [f]) λόγος
εἶναι λέγεται κατὰ συναγωγήν, τουτέστι συνακτικὸς διά τινων
ὁμολογουμένως ἀληθῶν, ἐπιφορὰν ἐκκαλύπτων ἄδηλον, ὑπεμνή-
σαμεν δὲ ἡμεῖς ὅτι οὔτε λόγος τίς ἐστιν [g]) οὔτε συνακτικὸς [h])
οὔτε ἀληθὴς [i]) οὔτε διά τινων [k]) προδήλων ἄδηλον συνάγων οὔτε
P 105 ἐκκαλυπτικὸς τοῦ συμπεράσματος, φανερόν ἐστιν ὅτι ἀνυπόστα-
171 τός ἐστιν ἡ ἀπόδειξις. καὶ κατ' ἐκείνην δὲ τὴν ἐπιβολὴν ἀνύ-
παρκτον ἢ καὶ ἀνεπινόητον εὑρήσομεν τὴν ἀπόδειξιν· ὁ γὰρ λέ-
γων εἶναι ἀπόδειξιν ἤτοι γενικὴν τίθησιν ἀπόδειξιν ἢ εἰδικήν
τινα· ἀλλ' οὔτε τὴν γενικὴν οὔτε εἰδικὴν ἀπόδειξιν τιθέναι
δυνατόν, ὡς ὑπομνήσομεν, παρὰ δὲ ταύτας ἄλλο τι νοεῖν οὐκ
ἐνδέχεται· οὐκ ἄρα δύναταί τις ὡς ὑπάρχουσαν τιθέναι τὴν ἀπό-
172 δειξιν. ἡ μὲν οὖν γενικὴ ἀπόδειξις ἀνυπόστατός ἐστι διὰ τάδε·
ἤτοι ἔχει λήμματά τινα καὶ τινα ἐπιφοράν, ἢ οὐκ ἔχει· καὶ εἰ
μὲν οὐκ ἔχει, οὐδὲ ἀπόδειξίς ἐστιν· εἰ δὲ λήμματά τινα ἔχει καὶ
ἐπιφοράν τινα, ἐπεὶ πᾶν τὸ ἀποδεικνύμενον οὕτω καὶ τὸ [*]) ἀπο-
173 δεικνύον ἐπὶ μέρους ἐστίν, εἰδικὴ ἔσται ἀπόδειξις· οὐκ ἄρα ἔστι
τις γενικὴ ἀπόδειξις· ἀλλ' οὐδὲ εἰδική. ἤτοι γὰρ τὸ ἐκ τῶν λημ-
μάτων καὶ τῆς ἐπιφορᾶς σύστημα ἀπόδειξιν ἐροῦσιν, ἢ τὸ σύ-
στημα ἐκ τῶν λημμάτων [l]) μόνον· οὐδέτερον δὲ τούτων ἐστὶν

patefaciunt, siquidem aut obscura est minimeque comprehenditur, aut manifesta, nec patefieri necesse habet. ergo si demonstratio dicitur esse argumentatio per collectionem (id est colligendi vim habens) ex aliquibus quae omnes fatentur vera, conclusionem patefaciens obscuram, nos autem docuimus nullam dari argumentationem neque colligendi vim habentem neque veram neque per aliqua evidentia obscurum colligentem nec quae patefaciat conclusionem, subsistere non posse demonstrationem perspicuum est. 171. sed et istis rationibus illos aggredientes non existere aut etiam intelligi non posse comperiemus demonstrationem; nam qui dicit esse demonstrationem, aut illam generalem ponit aut specialem aliquam. sed nec generalis nec specialis demonstratio poni queat, ut docebimus, praeter has autem aliud quicquam intellectu percipere non possumus; nemo igitur ut existentem ponere demonstrationem potest. 172. ac generalis quidem demonstratio consistere non potest ob haec quae sequuntur; aut enim habet sumptiones aliquas et aliquam conclusionem, aut non habet; et si quidem non habet, ne demonstratio quidem est. sin sumptiones aliquas habet et conclusionem aliquam, quoniam omne quod demonstratur itidem et quod demonstrat particulare est, specialis erit demonstratio. non est igitur ulla generalis demonstratio. 173. sed neque specialis ulla est; aut enim dicent demonstrationem esse coagmentationem ex sumptionibus et conclusione aut coagmentationem ex sumptionibus solum. atqui neutrum horum est demonstratio ut ostendam; non est igitur specialis

c) ἐκκαλύψοντος] al. ἐκκαλύψαντος, ut sect. 116.
f) εἰ τοίνυν ἡ ἀπόδειξις] supra sect. 135, 143.
g) ὅτι οὔτε λόγος τίς ἐστιν] sect. 144.
h) οὔτε συνακτικὸς] sect. 145 seq.
i) οὔτε ἀληθὴς] sect. 168.
k) οὔτε διά τινων] sect. 169.
P 105 [*) articulus vulgo om.]
l) σύστημα ἐκ τῶν λημμάτων] in editis ἐκ omissum. ad totam autem hanc disputationem conferendus liber adversus Rhetores sect. 107 seq. et liber 2 adversus Logicos.

ἀπόδειξις, ὡς παραστήσω· οὐκ ἄρα ἔστιν εἰδικὴ ἀπόδειξις. τὸ 174
μὲν οὖν σύστημα τὸ ἐκ τῶν λημμάτων καὶ τῆς ἐπιφορᾶς οὐκ ἔστιν ἀπόδειξις, πρῶτον μὲν ὅτι μέρος τι ἔχουσα ἄδηλον, τουτέστι τὴν ἐπιφοράν, ἄδηλος ἔσται, ὅπερ ἄτοπον· εἰ γὰρ ἄδηλός ἐστιν ἡ ἀπόδειξις αὕτη, δεήσεται τοῦ ἀποδείξοντος αὐτὴν μᾶλλον ἢ ἑτέρων ἔσται ἀποδεικτική. εἶτα καὶ ἐπεὶ πρός τί φασιν 175
εἶναι τὴν ἀπόδειξιν καὶ πρὸς τὴν ἐπιφοράν, τὰ δὲ πρός τι πρὸς ἑτέροις m) νοεῖται, ὡς αὐτοί φασιν, ἕτερον εἶναι δεῖ τὸ ἀποδεικνύμενον τῆς ἀποδείξεως· εἰ οὖν τὸ συμπέρασμά ἐστι τὸ ἀποδεικνύμενον, οὐ νοηθήσεται ἡ ἀπόδειξις σὺν τῷ συμπεράσματι. καὶ γὰρ ἤτοι συμβάλλεταί τι πρὸς τὴν ἀπόδειξιν ἑαυτοῦ τὸ συμπέρασμα ἢ οὐδαμῶς· ἀλλ' εἰ μὲν συμβάλλεται, ἑαυτοῦ ἔσται ἐκκαλυπτικόν, εἰ δὲ οὐ συμβάλλεται, ἀλλὰ παρέλκει, οὐδὲ μέρος τῆς ἀποδείξεως ἔσται, ἐπεὶ κἀκείνην κατὰ παρολκὴν n) ἐροῦμεν εἶναι μοχθηράν. ἀλλ' οὐδὲ τὸ σύστημα τῶν λημμάτων μόνων 176
ἀπόδειξις ἂν εἴη. τίς γὰρ ἂν εἴποι τὸ οὕτως λεγόμενον "εἰ ἡμέρα ἐστί, φῶς ἐστιν· ἀλλὰ μὴν ἡμέρα ἐστίν" o) ἢ λόγον εἶναι ἢ διάνοιαν ὅλως ἀπαρτίζειν; οὐκ ἄρα οὐδὲ τὸ σύστημα τῶν λημμάτων μόνον ἀπόδειξίς ἐστιν· οὐδὲ ἡ εἰδικὴ ἄρα ἀπόδειξις ὑπόστασιν ἔχει. εἰ δὲ μήτε ἡ εἰδικὴ ἀπόδειξις ὑφέστηκε μήτε *) P 106
ἡ γενική, παρὰ δὲ ταύτας p) οὐκ ἔστιν ἐννοεῖν ἀπόδειξιν, ἀνυπόστατός ἐστιν ἡ ἀπόδειξις. ἔτι ἐκ τούτων τὸ ἀνυπόστατον τῆς 177

demonstratio. 174. coagmentatio itaque ex sumptionibus et conclusione non est demonstratio, primum quidem, quia partem aliquam habens obscuram incertamque, videlicet conclusionem, obscura incertaque erit, quod absurdum est. si enim obscura incertaque est haec demonstratio, ipsa indigebit alio eam demonstrante potius, quam erit aliorum demonstratoria. 175. deinde quia dicunt relatum esse sive ad aliquid referri demonstrationem, nempe ad conclusionem, quae autem relata sunt, ad alia referri intelliguntur, ut ipsi dicunt, oportet itaque ut id quod demonstratur aliud a demonstratione ac diversum sit. si igitur conclusio sit id quod demonstratur, non intelligi poterit demonstratio cum conclusione; aut enim aliquid adiumenti adfert conclusio ad demonstrationem sui aut nihil. sed si quid adiuvat, sui ipsius erit declarativa, si nihil adiuvat sed supervacanea est, ne pars quidem demonstrationis erit, quoniam et illam demonstrationem propter superfluitatem dicemus esse vitiosam. 176. sed neque coagmentatio sola ex solis sumptionibus demonstratio fuerit, nam quis concedat, hoc si dicam "si dies est, lux est, atqui dies est" aut argumentationem esse, aut sententiam ullo modo efficere? ergo neque coagmentatio ex solis sumptionibus demonstratio est. unde fit ut ne specialis quidem demonstratio subsistere possit. quodsi neque specialis demonstratio subsistere potest neque generalis, ultra haec autem non possumus demonstrationem intellectu percipere, subsistere non potest demonstratio. 177. verum ex his quoque insubsistentia demonstrationis doceri potest. si

---

m) πρὸς ἑτέροις] al. πρὸς ἑτέρους male, nam esse deberet πρὸς ἕτερα.
n) κατὰ παρολκήν] supra sect. 147 et 166.
o) ἀλλὰ μὴν ἡμέρα ἐστί] hic in editis sequebatur, φῶς ἐστι, male utique, dare enim vult Sextus exemplum argumenti ex solis constantis praemissis, in quo conclusio desideratur, adeoque argumentum ipsum nullum est, unde conficit demonstrationem sine conclusione nullam esse posse.
[*) ita mss; legebatur μηδὲ]
p) παρὰ δὲ ταύτας] ita mss pro ταῦτα. P 106

ἀποδείξεως ἔνεστιν ὑπομιμνήσκειν. εἰ γάρ ἐστιν ἀπόδειξις, ἤτοι φαινομένη φαινομένου ἐστὶν ἐκκαλυπτικὴ ἢ ἄδηλος ἀδήλου ἢ ἄδηλος φαινομένου ἢ φαινομένη ἀδήλου. οὐδενὸς δὲ τούτων ἐκκα-
178 *λυπτικὴ δύναται ἐπινοεῖσθαι, ἀνεπινόητος ἄρα ἐστίν. εἰ μὲν γὰρ φαινομένη φαινομένου ἐκκαλυπτική ἐστιν, ἔσται τὸ ἐκκαλυπτόμενον ἅμα φαινόμενόν τε καὶ ἄδηλον· φαινόμενον μέν, ἐπεὶ τοιοῦτον εἶναι ὑπετέθη, ἄδηλον δέ, ἐπεὶ δεῖται τοῦ ἐκκαλύψοντος καὶ οὐκ ἐξ ἑαυτοῦ ὑποπίπτει ἡμῖν σαφῶς. εἰ δὲ ἄδηλος ἀδήλου, αὕτη δεηθήσεται τοῦ ἐκκαλύψοντος q) αὐτὴν καὶ οὐκ ἔσται ἐκκαλυπτικὴ ἑτέρων ὅπερ ἀφέστηκε τῆς ἐννοίας τῆς ἀποδείξεως.*
179 *διὰ δὲ ταῦτα οὐδὲ ἄδηλος προδήλου δύναται εἶναι ἀπόδειξις· ἀλλ' οὐδὲ πρόδηλος ἀδήλου. ἐπεὶ γὰρ πρός τι ἐστί, τὰ δὲ πρός τι ἀλλήλοις συγκαταλαμβάνεται r), συγκαταλαμβανόμενον τῷ προδήλῳ ἀποδείξει τὸ ἀποδείκνυσθαι λεγόμενον πρόδηλον ἔσται, ὡς περιτρέπεσθαι τὸν λόγον καὶ μὴ εὑρίσκεσθαι πρόδηλον αὐτὴν ἀδήλου ἀποδεικτικήν. εἰ οὖν μήτε φαινομένη φαινομένου ἐστὶν ἡ ἀπόδειξις μήτε ἄδηλος ἀδήλου μήτε ἄδηλος προδήλου μήτε πρόδηλος ἀδήλου, παρὰ δὲ ταῦτα οὐδέν εἶναι λέγουσιν, λεκτέον*
180 *μηδὲν εἶναι τὴν ἀπόδειξιν. πρὸς τούτοις κἀκεῖνο λεκτέον· διαπεφώνηται περὶ τῆς ἀποδείξεως. οἱ μὲν γὰρ μηδὲ εἶναι λέγουσιν αὐτήν, ὡς οἱ μηδὲν ὅλως εἶναι s) φάσκοντες, οἱ δὲ εἶναι, ὡς οἱ πολλοὶ τῶν Δογματικῶν t), ἡμεῖς δὲ μὴ μᾶλλον u) εἶναι αὐτὴν*

enim est demonstratio, aut evidens "ipsa aliud itidem" evidens patefacit aut obscura obscurum aut obscura manifestum aut manifesta obscurum. at demonstratio nulla intellectu percipi potest, quae ad ullum horum patefaciendum valeat; est ergo huiusmodi quae intelligi neutiquam possit. 178. nam si manifesta ipsa id quod manifestum est patefacit, quod patefacit una evidens erit et obscurum: evidens quidem, quoniam tale esse supponitur; obscurum autem, quia patefactione eget et non ex se ipso sub sensum nobis aperte cadit. sin obscura obscurum "patefacere dicatur" ipsa egebit alia a quo patefiat et ad aliorum patefactionem non valebit, quod a demonstrationis notione prorsus alienum est. 179. propterea neque obscura manifesti potest esse demonstratio neque manifesta obscuri; quia enim refertur ad aliquid, quae autem relata sunt simul invicem comprehenduntur, si comprehendatur una cum manifesta demonstratione id quod dicitur demonstrari erit et ipsum manifestum, adeo ut retorqueatur oratio, et non comperiatur ipsa manifesta obscuri esse demonstrativa. si ergo neque evidens evidentis est demonstratio neque obscura obscuri nec obscura manifesti nec manifesta obscuri, praeter haec autem nihil esse dicunt, nihil esse demonstrationem dicendum est. 180. his et illud addendum est. controversiae sunt de demonstratione; alii enim ne esse quidem ipsam dicunt, ut ii qui nihil omnino esse dicunt, alii esse, ut bona pars Dogmaticorum. nos autem nihilo magis esse ipsam quam non esse dicimus.

q) *τοῦ ἐκκαλύψοντος*] ita mss pro *ἐκκαλύψαντος*.

r) *συγκαταλαμβάνεται*] supra sect. 169. mox *τῷ προδήλῳ* habent mss cum articulo.

s) *οἱ μηδὲν ὅλως εἶναι*] nihil vere ita esse quale videtur, sed opinionem in omnibus utramque facere paginam, vide quae de Xeniade et Xenophane annotavi supra sect. 18 huius libri.

t) *πολλοὶ τῶν Δογματικῶν*] plerique, non omnes; nam et illi qui nihil esse verum asseverabant, de quibus dictum sect. 85, Dogmaticis adscribendi sunt.

u) *μὴ μᾶλλον*] vox sceptica *ἰσοσθένειαν* argumentorum ex utraque parte agnoscentis atque inde suspendentis assensum. supra lib. 1 cap. 19.

ἢ μὴ εἶναί φαμεν. καὶ ἄλλως ἡ ἀπόδειξις δόγμα πάντως περι- 181
έχει, περὶ παντὸς δὲ δόγματος διαπεφωνήκασιν [x]), ὥστε περὶ πά-
σης ἀποδείξεως ἀνάγκη εἶναι διαφωνίαν. εἰ γὰρ τῆς ἀποδείξεως
τοῦ εἶναι κενὸν [y]) (λόγου ἕνεκεν) ὁμολογουμένης, καὶ τὸ εἶναι
κενὸν συνομολογεῖται, δῆλον ὅτι οἱ ἀμφισβητοῦντες περὶ τοῦ P 107
εἶναι κενὸν καὶ περὶ τῆς ἀποδείξεως αὐτοῦ ἀμφισβητοῦσιν· καὶ
περὶ τῶν ἄλλων δογμάτων, ὧν εἰσιν αἱ ἀποδείξεις, ὁ αὐτὸς λό-
γος. πᾶσα τοίνυν ἀπόδειξις ἀμφισβητεῖται καὶ ἐν διαφωνίᾳ ἐστίν.
ἐπεὶ οὖν ἄδηλός ἐστιν ἡ ἀπόδειξις διὰ τὴν διαφωνίαν τὴν περὶ 182
αὐτῆς — τὰ γὰρ διάφωνα, καθ᾽ ὃ διαπεφώνηται, ἄδηλά ἐστιν — οὐκ
ἔστιν ἐξ ἑαυτῆς προῦπτος, ἀλλ᾽ ἐξ ἀποδείξεως ὀφείλει ἡμῖν
συνίστασθαι· ἡ οὖν ἀπόδειξις, δι᾽ ἧς κατασκευάζεται ἡ ἀπό-
δειξις, ὁμολογουμένη μὲν καὶ προῦπτος οὐκ ἔσται — ζητοῦμεν
γὰρ νῦν εἰ ἔστιν ἀπόδειξις ὅλως — διαφωνουμένη δὲ καὶ ἄδηλος
οὖσα δεήσεται ἀποδείξεως ἄλλης κἀκείνη ἄλλης καὶ μέχρις ἀπεί-
ρου· ἀδύνατον δὲ ἄπειρα ἀποδεῖξαι, ἀδύνατον ἄρα παραστῆσαι
ὅτι ἔστιν ἀπόδειξις. ἀλλ᾽ οὐδὲ διὰ σημείου δύναται ἐκκαλύπτε- 183
σθαι· ζητουμένου γὰρ τοῦ εἰ ἔστι σημεῖον [z]) καὶ ἀποδείξεως τοῦ
σημείου δεομένου πρὸς τὴν ἑαυτοῦ ὕπαρξιν, ὁ δι᾽ ἀλλήλων [a])

181. praeterea demonstratio contineat dogma necesse est, at omne dogma controversum est; itaque de omni demonstratione esse controversiam necesse est. si enim (verbi gratia) quando pro confesso et indubitata habetur demonstratio qua demonstratur esse vacuum, una etiam vacuum esse proconfesso habetur, nempe etiam qui dubitant an sit vacuum etiam de illius demonstratione dubitabunt. eademque est in aliis dogmatibus quorum sunt demonstrationes ratio. omnis igitur demonstratio in dubium revocatur et controversa est. 182. quoniam itaque obscura incertaque est demonstratio propter controversiam quae de ea est — quae enim controversa sunt, quatenus in controversia posita sunt, sunt obscura incertaque — non est ex se ipsa evidens, sed ex demonstratione nobis debet astrui, at vero demonstratio qua astruitur demonstratio et ipsa indubitata et evidens non erit — nunc enim adhuc quaerimus an ullo modo sit demonstratio — at si controversa sit et incerta alia demonstratione egebit et haec rursus alia, atque ita in infinitum usque. at nullo modo possunt infinita demonstrari; nullo modo igitur demonstrare licet dari demonstrationem. 183. sed ne per signum quidem patefieri id potest. quum enim quaeratur an sit signum, et signum egeat demonstratione ad sui existentiam astruendam, compeditur.

x) περὶ παντὸς δόγματος διαπεφωνήκασιν] dogma est decretum placitumque sectae alicui vel pluribus probatum, quod ab illis defenditur omni studio, ab aliis vero impugnatur, unde ipsum δογματικῶν nomen et verbum δογματίζειν, si quid vero sit in quo nulla plane secta dissentiat, illud non possit esse δόγμα, sed ἔννοια quaedam communis, confer lib. 2 contra Log. sect. 319.

y) τῆς ἀποδείξεως τοῦ εἶναι κενὸν] Epicuri schola vacuum et inanitatem dari hac pugnabat demonstratione, εἰ ἔστι κίνησις, ἔστι κενόν· ἀλλὰ μὴν ἔστι κίνησις, ἔστιν ἄρα κενόν. Lucretius 1 335

quod si non esset, nulla ratione moveri
res posset — —

z) εἰ ἔστι σημεῖον] supra sect. 104 seq. P 107

a) ὁ δι᾽ ἀλλήλων] ita mss pro διαλλήλων, confer 2 contra Log. sect. 379. passim autem et saepius noster vocat τρόπον διάλληλον, circulum vitiosum quo controversum ex re controversa et haec vicissim ex illo quod controversum est confirmatur. sed et ὁ δι᾽ ἀλλήλων τρόπος recurrit infra sect. 202 atque aliis in locis.

εὑρίσκεται τρόπος, τῆς μὲν ἀποδείξεως σημείου δεομένης, τοῦ δὲ
σημείου πάλιν ἀποδείξεως, ὅπερ ἄτοπον. διὰ δὲ ταῦτα οὐδὲ ἐπι-
κρῖναι δυνατόν ἐστι περὶ τῆς ἀποδείξεως διαφωνίαν, ἐπεὶ χρήζει
μὲν κριτηρίου ἡ ἐπίκρισις, ζητήσεως δὲ οὔσης περὶ τοῦ εἰ ἔστι
κριτήριον[b]), ὡς παρεστήσαμεν· καὶ διὰ τοῦτο ἀποδείξεως τοῦ
κριτηρίου δεομένου τῆς δεικνυούσης ὅτι ἔστι τι κριτήριον, ὁ διάλ-
184 ληλος τρόπος τῆς ἀπορίας εὑρίσκεται πάλιν. εἰ οὖν μήτε δι' ἀπο-
δείξεως μήτε διὰ σημείου μήτε διὰ κριτηρίου ἔστιν ὑπομνῆσαι
ὅτι ἔστιν ἀπόδειξις, ἀλλ' οὐδ' ἐξ ἑαυτῆς[c]) πρόδηλός ἐστιν, ὡς
παρεστήσαμεν, ἀκατάληπτον ἔσται εἰ ἔστιν ἀπόδειξις· διὰ δὲ
τοῦτο καὶ ἀνύπαρκτος ἔσται ἡ ἀπόδειξις. νενόηται μὲν γὰρ σὺν
τῷ ἀποδεικνύναι, ἀποδεικνύναι δὲ οὐκ ἂν δύναιτο μὴ καταλαμ-
185 βανομένη, διόπερ οὐδὲ ἀπόδειξις ἔσται. ταῦτα μὲν ὡς ἐν ὑποτυ-
πώσει καὶ πρὸς τὴν ἀπόδειξιν ἀρκέσει λελέχθαι. οἱ δὲ Δογματι-
κοί[d]) τοὐναντίον κατασκευάζοντές φασιν, ὅτι ἤτοι ἀποδεικτικοί
P 108 εἰσιν οἱ κατὰ τῆς ἀποδείξεως ἠρωτημένοι λόγοι ἢ οὐκ ἀποδεικτι-
κοί. καὶ εἰ μὲν οὐκ ἀποδεικτικοί, οὐ δύνανται δεικνύναι ὅτι οὐκ
ἔστιν ἡ ἀπόδειξις· εἰ δὲ ἀποδεικτικοί εἰσιν, αὐτοὶ οὗτοι τὴν
186 ὑπόστασιν τῆς ἀποδείξεως ἐκ περιτροπῆς εἰσάγουσιν. ὅθεν καὶ
τοιοῦτον συνερωτῶσι λόγον "εἰ ἔστιν ἀπόδειξις[e]), ἔστιν ἀπό-

esse modus colligendi vitiosus unum mutuo per alterum probandi, quum demonstratio signo egeat, signum autem demonstratione, quod absurdum est, propterea ne diiudicari quidem potest controversia quae de demonstratione est, quia eget quidem criterio sive diiudicatorio ipsa diiudicatio, quum autem ambigatur an sit diiudicatorium, ut ostendimus, et propterea diiudicatorium indigeat demonstratione quae ostendat esse diiudicatorium, rursus vitiosus per circulum dubitationis modus comperitur. 184. si igitur neque per demonstrationem neque per signum neque per criterium doceri potest esse demonstrationem, sed neque ex se ipsa patet, ut ostendimus, incomprehensibile erit an sit demonstratio et propterea etiam nulla erit demonstratio. intelligitur enim eo ipso quando demonstrat; demonstrare autem non potest, si non comprehendatur; ideo nec demonstratio erit. 185. haec quidem ut in brevi institutione etiam adversus demonstrationem dixisse satis fuerit. at Dogmatici contraria his astruentes dicunt "aut demonstrativa sunt argumenta adversus demonstrationem proposita", aut non demonstrativa: ac si quidem non demonstrativa, non possunt ostendere non esse demonstrationem, sin demonstrativa, illimet ipsi subsistentiam demonstrationis, si retorqueantur in illos sua verba, inducunt. 186. unde et tale proponunt argumentum "si est demonstratio, est

b) εἰ ἔστι κριτήριον] supra sect. 48 seq.

c) οὐδ' ἐξ ἑαυτῆς] sect. 144 seq.

d) οἱ Δογματικοί] facit huc locus Ioannis Philoponi in Analytica priora p. 9 b οἱ ἐφεκτικοὶ κατασκευάζοντες ὅτι οὐκ ἔστι συλλογισμὸς ἔλεγον οὕτως· ἀποδεικνύντες φατὲ ὅτι συλλογισμός, ἢ οὔ· εἰ μὲν οὐκ ἀποδεικνύντες, οὐ πιστεύσομεν χωρὶς ἀποδείξεως ὑμῖν ὅτι ἔστι συλλογισμός, εἰ δὲ ἀποδείκνυτε, συλλογισμῷ δῆλον ὅτι ἄλλῳ χρῆσθε, ὃν πάλιν δι' ἑτέρου συλλογισμοῦ δέον ὑμᾶς ἀποδεικνύειν, ὅτι ἔστι συλλογισμὸς ἀποδεικτικός, κἀκεῖνος πάλιν δι' ἑτέρου, καὶ τοῦτο ἐπ' ἄπειρον. πρὸς οὓς φαμεν, ὅτι τοῖς ὑμετέροις ἁλίσκεσθε (ita leg. pro ἡμετέροις ἁλίσκεσθαι) λόγοις, τὸ αὐτὸ γὰρ καὶ ἡμεῖς φήσομεν πρὸς ὑμᾶς. ἢ γὰρ ἀπεδείξατε ὅτι οὐκ ἔστι συλλογισμός, ἢ οὐκ ἀπεδείξατε. καὶ εἰ μὲν οὐκ ἀπεδείξατε, διὰ τοῦτο οὐ πιστεύομεν ὑμῖν· εἰ δὲ ἀπεδείξατε, ἀποδείξει δῆλον ὅτι τινὶ χρώμενοι, ὥστε ἔστι συλλογισμὸς δι' οὗ ἀπεδείξατε.

P 108 e) εἰ ἔστιν — — εἰ οὐκ ἔστιν ἀπόδειξις] novum exemplum argumenti διὰ δύο τροπικῶν, quale fuit sect. 134.

δειξις, εἰ οὐκ ἔστιν ἀπόδειξις, ἔστιν ἀπόδειξις· ἤτοι δὲ ἔστιν ἀπόδειξις, ἢ οὐκ ἔστιν ἀπόδειξις, ἔστιν ἄρα ἀπόδειξις". ἀπὸ δὲ τῆς αὐτῆς δυνάμεως καὶ τοῦτον ἐρωτῶσι τὸν λόγον· "τὸ τοῖς ἀντικειμένοις ἑπόμενον οὐ μόνον ἀληθές ἐστιν, ἀλλὰ καὶ ἀναγκαῖον· ἀντίκειται δὲ ταῦτα ἀλλήλοις, ἔστιν ἀπόδειξις, οὐκ ἔστιν ἀπόδειξις, ὧν ἑκατέρῳ ἀκολουθεῖ τὸ εἶναι ἀπόδειξιν· ἔστιν ἄρα ἀπόδειξις". ἔνεστι μὲν οὖν πρὸς ταῦτα ἀντιλέγειν οἷον γοῦν, ἐπεὶ 187
μὴ νομίζομέν τινα λόγον εἶναι ἀποδεικτικόν, καὶ τοὺς κατὰ τῆς ἀποδείξεως λόγους οὐ πάντως φαμὲν ἀποδεικτικοὺς εἶναι, ἀλλὰ φαίνεσθαι ἡμῖν πιθανούς· οἱ δὲ πιθανοὶ οὐκ ἐξ ἀνάγκης εἰσὶν ἀποδεικτικοί. εἰ δὲ ἄρα καὶ ἀποδεικτικοί εἰσιν, ὅπερ οὐ διαβεβαιούμεθα, πάντως καὶ ἀληθεῖς[f]). ἀληθεῖς δέ εἰσι λόγοι οἱ δι' ἀληθῶν ἀληθὲς συνάγοντες, οὐκοῦν ἀληθής ἐστιν αὐτῶν ἡ ἐπιφορά. ἦν δέ γε αὕτη "οὐκ ἔστιν ἄρα ἀπόδειξις", ἄρα ἐστὶ τὸ οὐκ ἔστιν ἀπόδειξις ἐκ περιτροπῆς. δύνανται δὲ οἱ λόγοι, καὶ καθάπερ τὰ 188
καθαρτικὰ φάρμακα ταῖς ἐν τῷ σώματι ὑποκειμέναις ὕλαις ἑαυτὰ συνεξάγει, οὕτω καὶ αὐτοὶ τοῖς ἄλλοις λόγοις τοῖς ἀποδεικτικοῖς εἶναι λεγομένοις καὶ ἑαυτοὺς συμπεριγράφειν[g])· τοῦτο γὰρ οὐκ ἔστιν ἀπεμφαῖνον. ἐπεὶ καὶ ἡ φωνὴ αὕτη ἡ "οὐδέν ἐστιν ἀληθὲς" οὐ μόνον τῶν ἄλλων ἕκαστον ἀναιρεῖ, ἀλλὰ καὶ ἑαυτὴν[h]) ἐκείνοις συμπεριτρέπει. ὅ τε λόγος οὗτος δύναται δείκνυσθαι ἀσύνακτος "εἰ ἔστιν ἀπόδειξις, ἔστιν ἀπόδειξις· εἰ οὐκ ἔστιν ἀπόδειξις, ἔστιν ἀπόδειξις· ἤτοι δέ ἐστιν ἢ οὐκ ἔστιν· ἔστιν ἄρα" καὶ διὰ πλειόνων μέν, ὡς δὲ πρὸς τὸ παρὸν ἀρκούντως διὰ

demonstratio; si non est demonstratio, est demonstratio, atqui aut est demonstratio, aut non est demonstratio; est igitur demonstratio". eiusdem momenti argumento etiam colligunt sic: "quod consequitur ex oppositis non solum verum est, sed etiam necessarium, atqui opposita sunt haec inter se, est demonstratio, non est demonstratio, ex quorum utroque sequitur esse demonstrationem; est igitur demonstratio". 187. sed enim contra haec quoque opponi aliquid potest. verbi gratia si ita dicamus: quandoquidem non existimamus argumentationem ullam esse demonstrativam, ne eas quidem quae sunt adversus demonstrationem, necessario dicimus esse demonstrativas, sed videri nobis verisimiles. verisimiles autem necesse non habent ut sint demonstrativae. quodsi demonstrativae quoque sint, quod non affirmamus, necessario etiam fuerint verae. verae autem argumentationes eae sunt quae vera per verum colligunt; itaque vera est earum conclusio; atqui ea haec erat "non est ergo demonstratio"; itaque retorquendo in illos sua verba non est demonstratio. 188 praeterea fieri potest ut quemadmodum purgantia medicamenta se ipsa expellunt una cum materiis in corpore subsistentibus, sic etiam argumentationes istae una cum aliis quae dicuntur esse demonstrativae, se ipsas evertant. hoc enim non est absurdum. nam et haec vox, "nihil est verum", non solum reliqua omnia tollit, sed se ipsam quoque una cum aliis evertit. et hoc argumentum "si est demonstratio, est demonstratio; si non est demonstratio, est demonstratio, atqui aut est, aut non est, est ergo" potest etiam multis modis ostendi quod nullam colligendi vim habeat; sed in prae-

---

f) πάντως καὶ ἀληθεῖς] supra sect. 143.

g) συμπεριγράφειν] vide de hoc verbo ad lib. 1 sect. 13. illa porro similitudine a purgantibus ducta medicamentis utitur noster etiam lib. 1 sect. 206.

h) ἀλλὰ καὶ ἑαυτὴν] hoc iam notaverat supra sect. 86. huius libri 2.

εὑρίσκεται τρόπος, τῆς μὲν ἀποδείξεως σημείου δεομένης, τοῦ δὲ
σημείου πάλιν ἀποδείξεως, ὅπερ ἄτοπον. διὰ δὲ ταῦτα οὐδὲ ἐπι-
κρῖναι δυνατόν ἐστι περὶ τῆς ἀποδείξεως διαφωνίαν, ἐπεὶ χρῄζει
μὲν κριτηρίου ἡ ἐπίκρισις, ζητήσεως δὲ οὔσης περὶ τοῦ εἰ ἔστι
κριτήριον[b]), ὡς παρεστήσαμεν· καὶ διὰ τοῦτο ἀποδείξεως τοῦ
κριτηρίου δεομένου τῆς δεικνυούσης ὅτι ἔστι τι κριτήριον, ὁ διάλ-
184 ληλος τρόπος τῆς ἀπορίας εὑρίσκεται πάλιν. εἰ οὖν μήτε δι' ἀπο-
δείξεως μήτε διὰ σημείου μήτε διὰ κριτηρίου ἔστιν ὑπομνῆσαι
ὅτι ἔστιν ἀπόδειξις, ἀλλ' οὐδ' ἐξ ἑαυτῆς[c]) πρόδηλός ἐστιν, ὡς
παρεστήσαμεν, ἀκατάληπτον ἔσται εἰ ἔστιν ἀπόδειξις· διὰ δὲ
τοῦτο καὶ ἀνύπαρκτος ἔσται ἡ ἀπόδειξις. νενόηται μὲν γὰρ σὺν
τῷ ἀποδεικνύναι, ἀποδεικνύναι δὲ οὐκ ἂν δύναιτο μὴ καταλαμ-
185 βανομένη, διόπερ οὐδὲ ἀπόδειξις ἔσται. ταῦτα μὲν ὡς ἐν ὑποτυ-
πώσει καὶ πρὸς τὴν ἀπόδειξιν ἀρκέσει λελέχθαι. οἱ δὲ Δογματι-
κοί[d]) τοὐναντίον κατασκευάζοντές φασιν, ὅτι ἤτοι ἀποδεικτικοί
P 108 εἰσιν οἱ κατὰ τῆς ἀποδείξεως ἠρωτημένοι λόγοι ἢ οὐκ ἀποδεικτι-
κοί. καὶ εἰ μὲν οὐκ ἀποδεικτικοί, οὐ δύνανται δεικνύναι ὅτι οὐκ
ἔστιν ἡ ἀπόδειξις· εἰ δὲ ἀποδεικτικοί εἰσιν, αὐτοὶ οὗτοι τὴν
186 ὑπόστασιν τῆς ἀποδείξεως ἐκ περιτροπῆς εἰσάγουσιν. ὅθεν καὶ
τοιοῦτον συνερωτῶσι λόγον "εἰ ἔστιν ἀπόδειξις[e]), ἔστιν ἀπό-

esse modus colligendi vitiosus unum mutuo per alterum probandi, quum demonstratio signo egeat, signum autem demonstratione, quod absurdum est, propterea ne diiudicari quidem potest controversia quae de demonstratione est, quia eget quidem criterio sive diiudicatorio ipsa diiudicatio, quum autem ambigatur an sit diiudicatorium, ut ostendimus, et propterea diiudicatorium indigeat demonstratione quae ostendat esse diiudicatorium, rursus vitiosus per circulum dubitationis modus comperitur. 184. si igitur neque per demonstrationem neque per signum neque per criterium doceri potest esse demonstrationem, sed neque ex se ipsa patet, ut ostendimus, incomprehensibile erit an sit demonstratio et propterea etiam nulla erit demonstratio. intelligitur enim eo ipso quando demonstrat; demonstrare autem non potest, si non comprehendatur; ideo nec demonstratio erit. 185. haec quidem ut in brevi institutione etiam adversus demonstrationem dixisse satis fuerit. at Dogmatici contraria his astruentes dicunt "aut demonstrativa sunt argumenta adversus demonstrationem proposita", aut non demonstrativa: ac si quidem non demonstrativa, non possunt ostendere non esse demonstrationem, sin demonstrativa, illimet ipsi subsistentiam demonstrationis, si retorqueantur in illos sua verba, inducunt. 186. unde et tale proponunt argumentum "si est demonstratio, est

---

b) εἰ ἔστι κριτήριον] supra sect. 48 seq.
c) οὐδ' ἐξ ἑαυτῆς] sect. 144 seq.
d) οἱ Δογματικοί] facit huc locus Ioannis Philoponi in Analytica priora p. 9 b οἱ ἐφεκτικοὶ κατασκευάζοντες ὅτι οὐκ ἔστι συλλογισμὸς ἔλεγον οὕτως· ἀποδεικνύντες φατὲ ὅτι συλλογισμός, ἢ οὔ· εἰ μὲν οὐκ ἀποδεικνύντες, οὐ πιστεύσομεν χωρὶς ἀποδείξεως ὑμῖν ὅτι ἔστι συλλογισμός, εἰ δὲ ἀποδείκνυτε, συλλογισμῷ δῆλον ὅτι ἄλλῳ χρῆσθε, ὃν πάλιν δι' ἑτέρου συλλογισμοῦ δέον ὑμᾶς ἀποδεικνύειν, ὅτι ἔστι συλλογισμὸς ἀποδεικτικός, κἀκεῖνος πάλιν δι' ἑτέρου, καὶ τοῦτο ἐπ' ἄπειρον. πρὸς οὓς φαμεν, ὅτι τοῖς ὑμετέροις ἁλίσκεσθε (ita leg. pro ἡμετέροις ἁλίσκεσθαι) λόγοις, τὸ αὐτὸ γὰρ καὶ ἡμεῖς φήσομεν πρὸς ὑμᾶς. ἢ γὰρ ἀπεδείξατε ὅτι οὐκ ἔστι συλλογισμός, ἢ οὐκ ἀπεδείξατε. καὶ εἰ μὲν οὐκ ἀπεδείξατε, διὰ τοῦτο οὐ πιστεύομεν ὑμῖν· εἰ δὲ ἀπεδείξατε, ἀποδείξει δῆλον ὅτι τινὶ χρώμενοι, ὥστε ἔστι συλλογισμὸς δι' οὗ ἀπεδείξατε.
P 108 e) εἰ ἔστιν — — εἰ οὐκ ἔστιν ἀπόδειξις] novum exemplum argumenti διὰ δύο τροπικῶν, quale fuit sect. 134.

δειξις, εἰ οὐκ ἔστιν ἀπόδειξις, ἔστιν ἀπόδειξις· ἤτοι δὲ ἔστιν ἀπόδειξις, ἢ οὐκ ἔστιν ἀπόδειξις, ἔστιν ἄρα ἀπόδειξις". ἀπὸ δὲ τῆς αὐτῆς δυνάμεως καὶ τοῦτον ἐρωτῶσι τὸν λόγον· "τὸ τοῖς ἀντικειμένοις ἑπόμενον οὐ μόνον ἀληθές ἐστιν, ἀλλὰ καὶ ἀναγκαῖον· ἀντίκειται δὲ ταῦτα ἀλλήλοις, ἔστιν ἀπόδειξις, οὐκ ἔστιν ἀπόδειξις, ὧν ἑκατέρῳ ἀκολουθεῖ τὸ εἶναι ἀπόδειξιν· ἔστιν ἄρα ἀπόδειξις". ἔνεστι μὲν οὖν πρὸς ταῦτα ἀντιλέγειν οἷον γοῦν, ἐπεὶ 187
μὴ νομίζομέν τινα λόγον εἶναι ἀποδεικτικόν, καὶ τοὺς κατὰ τῆς ἀποδείξεως λόγους οὐ πάντως φαμὲν ἀποδεικτικοὺς εἶναι, ἀλλὰ φαίνεσθαι ἡμῖν πιθανούς· οἱ δὲ πιθανοὶ οὐκ ἐξ ἀνάγκης εἰσὶν ἀποδεικτικοί. εἰ δὲ ἄρα καὶ ἀποδεικτικοί εἰσιν, ὅπερ οὐ διαβεβαιούμεθα, πάντως καὶ ἀληθεῖς[f]). ἀληθεῖς δέ εἰσι λόγοι δι' ἀληθῶν ἀληθὲς συνάγοντες, οὐκοῦν ἀληθής ἐστιν αὐτῶν ἡ ἐπιφορά. ἦν δέ γε αὕτη "οὐκ ἔστιν ἄρα ἀπόδειξις", ἄρα ἐστὶ τὸ οὐκ ἔστιν ἀπόδειξις ἐκ περιτροπῆς. δύνανται δὲ οἱ λόγοι, καὶ καθάπερ τὰ 188
καθαρτικὰ φάρμακα ταῖς ἐν τῷ σώματι ὑποκειμέναις ὕλαις ἑαυτὰ συνεξάγει, οὕτω καὶ αὐτοὶ τοῖς ἄλλοις λόγοις τοῖς ἀποδεικτικοῖς εἶναι λεγομένοις καὶ ἑαυτοὺς συμπεριγράφειν[g])· τοῦτο γὰρ οὐκ ἔστιν ἀπεμφαῖνον. ἐπεὶ καὶ ἡ φωνὴ αὕτη ἡ "οὐδέν ἐστιν ἀληθές" οὐ μόνον τῶν ἄλλων ἕκαστον ἀναιρεῖ, ἀλλὰ καὶ ἑαυτὴν[h]) ἐκείνοις συμπεριτρέπει. ὅ τε λόγος οὗτος δύναται δείκνυσθαι ἀσύνακτος "εἰ ἔστιν ἀπόδειξις, ἔστιν ἀπόδειξις· εἰ οὐκ ἔστιν ἀπόδειξις, ἔστιν ἀπόδειξις· ἤτοι δέ ἐστιν ἢ οὐκ ἔστιν· ἔστιν ἄρα" καὶ διὰ πλειόνων μέν, ὡς δὲ πρὸς τὸ παρὸν ἀρκούντως διὰ

demonstratio; si non est demonstratio, est demonstratio, atqui aut est demonstratio, aut non est demonstratio; est igitur demonstratio". eiusdem momenti argumento etiam colligunt sic: "quod consequitur ex oppositis non solum verum est, sed etiam necessarium, atqui opposita sunt haec inter se, est demonstratio, non est demonstratio, ex quorum utroque sequitur esse demonstrationem; est igitur demonstratio". 187. sed enim contra haec quoque opponi aliquid potest. verbi gratia si ita dicamus: quandoquidem non existimamus argumentationem ullam esse demonstrativam, ne eas quidem quae sunt adversus demonstrationem, necessario dicimus esse demonstrativas, sed videri nobis verisimiles. verisimiles autem necesse non habent ut sint demonstrativae. quodsi demonstrativae quoque sint, quod non affirmamus, necessario etiam fuerint verae. verae autem argumentationes eae sunt quae vera per verum colligunt; itaque vera est earum conclusio; atqui ea haec erat "non est ergo demonstratio"; itaque retorquendo in illos sua verba non est demonstratio. 188 praeterea fieri potest ut quemadmodum purgantia medicamenta se ipsa expellunt una cum materiis in corpore subsistentibus, sic etiam argumentationes istae una cum aliis quae dicuntur esse demonstrativae, se ipsas evertant. hoc enim non est absurdum. nam et haec vox, "nihil est verum", non solum reliqua omnia tollit, sed se ipsam quoque una cum aliis evertit. et hoc argumentum "si est demonstratio, est demonstratio; si non est demonstratio, est demonstratio, atqui aut est, aut non est, est ergo" potest etiam multis modis ostendi quod nullam colligendi vim habeat; sed in prae-

f) πάντως καὶ ἀληθεῖς] supra sect. 143.

g) συμπεριγράφειν] vide de hoc verbo ad lib. 1 sect. 13. illa porro similitudine a purgantibus ducta medicamentis utitur noster etiam lib. 1 sect. 206.

h) ἀλλὰ καὶ ἑαυτήν] hoc iam notaverat supra sect. 86. huius libri 2.

189 τοῦδε τοῦ ἐπιχειρήματος, εἰ ὑγιές ἐστι τὸ συνημμένον τοῦτο "εἰ ἔστιν ἀπόδειξις, ἔστιν ἀπόδειξις" δεῖ τὸ ἀντικείμενον[1]) τοῦ ἐν αὐτῷ λήγοντος, τουτέστι τό "οὐκ ἔστιν ἀπόδειξις" μάχεσθαι τῷ "ἔστιν ἀπόδειξις". τοῦτο γάρ ἐστι τοῦ συνημμένου τὸ ἡγούμενον. ἀδύνατον δέ ἐστι κατ' αὐτοὺς συνημμένον ὑγιὲς εἶναι ἐκ
P 109 μαχομένων ἀξιωμάτων συνεστώς. τὸ μὲν γὰρ συνημμένον ἐπαγγέλλεται ὄντος τοῦ ἐν αὐτῷ ἡγουμένου εἶναι καὶ τὸ λῆγον, τὰ δὲ μαχόμενα τοὐναντίον, ὄντος τοῦ ἑτέρου αὐτῶν ὁποιουδήποτε, ἀδύνατον εἶναι τὸ λοιπὸν ὑπάρχειν. ὄντος ἄρα ὑγιοῦς τοῦδε τοῦ συνημμένου "εἰ ἔστιν ἀπόδειξις, ἔστιν ἀπόδειξις", οὐ δύναται ὑγιὲς εἶναι τοῦτο τὸ συνημμένον "εἰ οὐκ ἔστιν ἀπόδειξις, ἔστιν
190 ἀπόδειξις". πάλιν δ' αὖ συγχωρούντων ἡμῶν καθ' ὑπόθεσιν ὑγιὲς εἶναι τόδε τὸ συνημμένον "εἰ οὐκ ἔστιν ἀπόδειξις, ἔστιν ἀπόδειξις", δύναται συνυπάρχειν τό "εἰ ἔστιν ἀπόδειξις" τῷ "οὐκ ἔστιν ἀπόδειξις"· εἰ δὲ δύναται αὐτῷ συνυπάρχειν, οὐ μάχεται αὐτῷ. ἐν ἄρα τῷ "εἰ ἔστιν ἀπόδειξις, ἔστιν ἀπόδειξις" συνημμένῳ οὐ μάχεται τὸ ἀντικείμενον τοῦ ἐν αὐτῷ λήγοντος τῷ ἐν
191 αὐτῷ ἡγουμένῳ, ὥστε οὐκ ἔσται ὑγιές. πάλιν τοῦτο τὸ συνημμένον ἐκείνου κατὰ συγχώρησιν ὡς ὑγιοῦς τιθεμένου, μὴ μαχομένου δὲ τοῦ "οὐκ ἔστιν ἀπόδειξις" τῷ "ἔστιν ἀπόδειξις", οὐδὲ τὸ διεζευγμένον ὑγιὲς ἔσται τό "ἤτοι ἔστιν ἀπόδειξις ἢ οὐκ ἔστιν ἀπόδειξις". τὸ γὰρ ὑγιὲς διεζευγμένον ἐπαγγέλλεται ἓν τῶν ἐν αὐτῷ ὑγιὲς εἶναι, τὸ δὲ λοιπὸν ἢ τὰ λοιπὰ ψεῦδος ἢ ψευδῆ μετὰ μάχης, ἤ, εἴπερ ὑγιές ἐστι τὸ διεζευγμένον, πάλιν φαῦλον εὑρίσκεται τό "εἰ οὐκ ἔστιν ἀπόδειξις, ἔστιν ἀπόδειξις" συνημμένον, ἐκ μαχομένων συνεστώς. οὐκοῦν ἀσύμφωνά τέ ἐστι καὶ

sentia hac argumentatione contenti erimus. si vitiosum non est hoc connexum: 189. "si est demonstratio, est demonstratio". oportet oppositum consequentis in eo, nempe hoc "non est demonstratio" adversari illi "est demonstratio". illud enim est connexi antecedens. atqui fieri secundum ipsos non potest ut connexum vitio non careat, quod ex adversantibus propositionibus constat. nam connexum promittit, si antecedens in illo verum sit, verum esse etiam consequens; at in repugnantibus sive disiunctivis contra res se habet, utrumlibet ipsorum fuerit, fieri non potest ut alterum sit. ergo si verum est hoc connexum "si est demonstratio, est demonstratio" non potest verum esse illud "si non est demonstratio, est demonstratio". 190. verumtamen ut rursus supponamus concedamusque verum esse hoc connexum "si non est demonstratio, est demonstratio"; potest ergo simul coëxistere hoc "si est demonstratio" cum illo "non est demonstratio" quod si potest ipsi coëxistere, cum eo non pugnat. itaque in hoc connexo "si est demonstratio, est demonstratio" non pugnat oppositum consequentis cum illius antecedente. 191. igitur non erit verum. rursus hoc connexum, si illud per concessionem tamquam verum ponatur, non pugnet autem hoc "non est demonstratio" illi "est demonstratio", ne disiunctum quidem bonum erit, hoc videlicet "aut est demonstratio, aut non est demonstratio". nam bonum disiunctum promittit unum eorum quae in ipso sunt esse verum, reliquum autem aut reliqua falsum, aut falsa, et cum vero illo pugnantia. aut si bonum est disiunctum, rursum vitiosum comperitur esse illud "si non est demonstratio, est demonstratio" connexum ex pugnantibus constans. quamobrem inter se dissentiunt mutuoque se

---

1) τὸ ἀντικείμενον] supra sect. 158.

ἀλλήλων ἀναιρετικὰ τὰ ἐν τῷ λόγῳ τῷ προειρημένῳ λήμματα· διόπερ οὐκ ἔστιν ὑγιὴς ὁ λόγος. ἀλλ' οὐδὲ ὅτι ἀκολουθεῖ τι τοῖς 192
ἀντικειμένοις δύνανται δεικνύναι μὴ ἔχοντες κριτήριον ἀκολουθίας, ὡς ἐπελογισάμεθα [k]). ταῦτα δὲ ἐκ περιουσίας λέγομεν· εἰ γὰρ πιθανοὶ μέν εἰσιν οἱ ὑπὲρ τῆς ἀποδείξεως λόγοι (ἔστωσαν γάρ), πιθαναὶ δὲ καὶ αἱ πρὸς τὴν ἀπόδειξιν λεγόμεναι ἐπιχειρήσεις, ἐπέχειν ἀνάγκη καὶ περὶ τῆς ἀποδείξεως, μὴ μᾶλλον εἶναι ἀπόδειξιν ἢ μὴ εἶναι λέγοντας.

ΚΕΦ. ιδ'.

Περὶ συλλογισμῶν.

Διὸ καὶ περὶ τῶν θρυλουμένων συλλογισμῶν [l]) ἴσως περιτ- 193
τόν ἐστιν διεξιέναι, τοῦτο μὲν συμπεριτρεπομένων αὐτῶν τῇ ὑπάρξει τῆς ἀποδείξεως (δῆλον γὰρ ὅτι ἐκείνης μὴ οὔσης οὐδὲ ἀποδεικτικὸς λόγος χώραν ἔχει), τοῦτο δὲ καὶ δυνάμει διὰ τῶν ἔμπροσθεν ἡμῖν λελεγμένων, ἀντειρηκότων ἡμῖν πρὸς αὐτούς, P 110
ὅτε περὶ τῆς παρολκῆς [m]) διαλεγόμενοι μέθοδόν τινα ἐλέγομεν, δι' ἧς ἐνδέχεται δεικνύναι ὅτι πάντες οἱ ἀποδεικτικοὶ λόγοι τῶν τε Στωϊκῶν καὶ τῶν Περιπατετικῶν ἀσύνακτοι τυγχάνουσιν ὄντες. ἐξ ἐπιμέτρου δὲ οὐ χεῖρον ἴσως καὶ ἰδίᾳ περὶ αὐτῶν διαλα- 194
βεῖν, ἐπεὶ μάλιστα ἐπ' αὐτοῖς μέγα φρονοῦσι. πολλὰ μὲν οὖν

evertunt supra dictae argumentationis sumptiones. 192. non recte itaque colligit illa argumentatio. sed ne illud quidem ostendere possunt aliquid consequi ex oppositis, quum non habeant diiudicatorium consecutionis, ut ratiocinati sumus. verumenimvero haec ex abundanti dicimus. nam si verisimilia sunt ea quae pro demonstratione dicuntur (nam talia sint per nos licet), verisimilia itidem argumenta, quae adversus demonstrationem afferuntur, etiam de demonstratione nos assensum retinere necesse est, adeo ut non potius esse demonstrationem quam non esse dicamus.

CAP. XIV.

De Syllogismis.

193. Quamobrem de syllogismis sermone illorum passim celebratis videri possit supervacuum disserere, partim quod una cum demonstrationis existentia evertantur et ipsi (perspicuum est enim, illa non existente ne demonstrativo quidem syllogismo locum superesse), partim etiam quod ad eorum refutationem ea quae a nobis iam dicta sunt valere possint, quum de superfluitate disputantes viam quandam et methodum tradebamus, per quam omnia demonstrativa argumenta Stoicorum et Peripateticorum colligendi vi destituta esse ostendi potest. 194. peculiarem tamen de iis disputationem tamquam auctarium iis addere fortasse nihil nocuerit, praesertim quum sibi in illis ma-

---

k) ὡς ἐπελογισάμεθα] sect. 48 seq. P 109

l) περὶ τῶν θρυλουμένων συλλογισμῶν] syllogismis suis undique personabat Peripateticorum schola, ut Stoica argumentis indemonstrabilibus sect. 156 et 159. similiter τὰ θρυλούμενα ἀναπόδεικτα appellat, hoc est quibus valde se efferunt et μέγα φρονοῦσι Dogmatici, ut alibi loquitur, ac singillatim Stoicos μέγα φρονῆσαι ἐπὶ τῇ τῶν λογικῶν ἐξεργασίᾳ notavit etiam Simplicius p. 98 in Aristotelis Categorias. ἡ θρυλουμένη παρὰ τοῖς Διαλεκτικοῖς περὶ τῶν σοφισμάτων τεχνολογία infra sect. 255.

m) περὶ τῆς παρολκῆς] supra sect. 147, 156, 175. P 110

ἔστι λέγειν τὸ ἀνυπόστατον αὐτῶν ὑπομιμνήσκοντας, ὡς ἐν ὑποτυπώσει δὲ ἀρκεῖ τῇδε τῇ μεθόδῳ χρῆσθαι κατὰ αὐτῶν. λέξω δὲ καὶ νῦν περὶ τῶν ἀναποδείκτων [n])· τούτων γὰρ ἀναιρουμένων καὶ οἱ λοιποὶ σύμπαντες λόγοι διατρέπονται τὴν ἀπόδειξιν τοῦ
195 συνάγειν ἀπ' αὐτῶν ἔχοντες. ἡ πρότασις τοίνυν αὕτη "πᾶς ἄνθρωπος ζῷον" ἐκ τῶν κατὰ μέρος ἐπαγωγικῶς βεβαιοῦται· ἐκ γὰρ τοῦ Σωκράτην ἄνθρωπον ὄντα καὶ ζῷον εἶναι καὶ Πλάτωνα ὁμοίως καὶ Δίωνα καὶ ἕκαστον τῶν κατὰ μέρος, δυνατὸν εἶναι δοκεῖ διαβεβαιοῦσθαι καὶ ὅτι πᾶς ἄνθρωπος ζῷόν ἐστιν. ὡς εἰ κἂν ἕν τι τῶν κατὰ μέρος ἐναντιούμενον φαίνοιτο τοῖς ἄλλοις, οὐκ ἔστιν ὑγιὴς ἡ καθόλου πρότασις· οἷον γοῦν, ἐπεὶ τὰ μὲν πλεῖστα τῶν ζῴων τὴν κάτω γένυν κινεῖ, μόνος δὲ ὁ κροκόδειλος [o]) τὴν ἄνω, οὐκ ἔστιν ἀληθὴς ἡ "πᾶν ζῷον τὴν κάτω γένυν
196 κινεῖ" πρότασις. ὅταν οὖν λέγωσι "πᾶς ἄνθρωπος ζῷον, Σωκράτης δ' ἄνθρωπος, Σωκράτης ἄρα ζῷον" ἐκ τῆς καθόλου προτάσεως τῆς "πᾶς ἄνθρωπος ζῷον" τὴν κατὰ μέρος πρότασιν συνάγειν βουλόμενοι τὴν "Σωκράτης ἄρα ζῷον", ἣ δὴ βεβαιωτικὴ τῆς καθολικῆς προτάσεώς ἐστι κατὰ τὸν ἐπαγωγικὸν τρόπον, ὡς ὑπεμνήσαμεν, εἰς τὸν διάλληλον ἐμπίπτουσι λόγον, τὴν μὲν καθολικὴν πρότασιν δι' ἑκάστης τῶν κατὰ μέρος ἐκ τῆς καθο-
197 λικῆς συλλογιστικῶς. παραπλησίως δὲ καὶ ἐπὶ τοῦ τοιούτου λό-

xime placeant, quum autem multa afferri possint ad docendum eos subsistere non posse, tamen pro eo quod nobis instituta brevis institutionis ratio requirit, hac methodo adversus eos uti sufficiet. dicam autem nunc quoque de argumentis indemonstrabilibus; his enim sublatis etiam reliqui omnes syllogismi corruunt, quippe qui per illa demonstrentur colligendi vim habere. 195. haec ergo propositio "omnis homo est animal" ex singularibus per inductionem confirmatur; nam ex eo quod Socrates, qui homo est, animal etiam sit, Plato itidem et Dion et unusquisque singularium, videtur posse confirmari, omnem hominem esse animal. nam si vel unum singulare contrarium aliis comperiatur, non est vera universalis propositio. exempli gratia, quoniam maxima pars animalium inferiorem maxillam movet, solus autem crocodilus superiorem, vera haec propositio non fuerit "omnia animantia inferiorem maxillam movent". 196. quum igitur dicunt "omnis homo est animal, Socrates est homo, Socrates igitur animal" ex hac universali propositione "omnis homo est animal" singularem hanc propositionem colligere volentes "Socrates igitur est animal", cum ex singularium inductione probetur universalis propositio, ut docuimus, in vitiosum genus incidunt probandi mutuo unum per alterum, universalem quidem propositionem per inductionem omnium particularium, particularem autem ex universali per syllogismum inferre volentes. 197. itidem et in hoc argumento "Socrates est

---

n) *περὶ τῶν ἀναποδείκτων*] habent et Peripatetici sua *ἀναπόδεικτα* argumenta, syllogismosque categoricos et hypotheticos universali affirmatione vel negatione nixos, ut iam ad sect. 156 annotatum. male in editis erat *ἀνυποδείκτων*.

o) *μόνος δὲ ὁ κροκόδειλος*] a crocodilo superiorem maxillam moveri notarunt Herodotus lib. 2 cap. 68, Aristoteles lib. 1 Hist. animal. c. 9 et lib. 3 cap. 7, Plinius 8 25 et 11 37 Hist. ut innumeros alios iam praeteream, illud fortasse non omittendum, quod recentiorum industria observavit, crocodilum neutiquam ita maxillam superiorem sex et triginta munitam dentibus movere separatim citra cranium, ut inter aves facit psittacus, sed cum cranio sive universa capitis parte superiore.

γον "Σωκράτης ἄνθρωπος, οὐδεὶς δὲ ἄνθρωπος τετράπους, Σωκράτης ἄρα οὐκ ἔστι τετράπους" τὴν μὲν "οὐδεὶς ἄνθρωπος τετράπους" πρότασιν ἐκ τῶν κατὰ μέρος ἐπαγωγικῶς βουλόμενοι βεβαιοῦν, ἑκάστην δὲ τῶν κατὰ μέρος ἐκ τῆς "οὐδεὶς ἄνθρωπος τετράπους" συλλογίζεσθαι θέλοντες, τῇ κατὰ τὸν διάλληλον P 111
ἀπορίᾳ περιπίπτουσιν. ὁμοίως δὲ ἐφοδευτέον p) καὶ τοὺς λοιποὺς 198
τῶν παρὰ τοῖς Περιπατητικοῖς λεγομένων ἀναποδείκτων· ἀλλὰ καὶ τοὺς τοιούτους "εἰ ἡμέρα ἐστί, φῶς ἐστιν"· τό τε γὰρ "εἰ ἡμέρα ἐστί, φῶς ἐστι" συνακτικόν ἐστιν ὥς φασι τοῦ "φῶς ἐστι", τό τε "φῶς ἐστι" μετὰ τοῦ "ἡμέρα ἐστί" βεβαιωτικόν ἐστι τοῦ "εἰ ἡμέρα ἐστί, φῶς ἐστιν". οὐ γὰρ ἂν ὑγιὲς ἐνομίσθη τὸ προειρημένον συνημμένον εἶναι, εἰ μὴ πρότερον τεθεώρητο συνυπάρχον ἀεὶ τὸ "φῶς ἐστι" τῷ "ἡμέρα ἐστίν". εἰ οὖν δεῖ προκατει- 199
λῆφέναι ὅτι ἡμέρας οὔσης πάντως ἐστὶ καὶ φῶς εἰς τὸ συνθεῖναι τὸ "εἰ ἡμέρα ἐστί, φῶς ἐστι" συνημμένον, διὰ δὲ τοῦ συνημμένου τούτου q) συνάγεται τὸ ὅτι ἡμέρας οὔσης φῶς εἶναι, τὴν μὲν συνύπαρξιν τοῦ ἡμέραν εἶναι καὶ τοῦ φῶς εἶναι συνάγοντος τοῦ "εἰ ἡμέρα ἐστί, φῶς ἐστι" συνημμένου (ὅσον ἐπὶ τῷ προκειμένῳ ἀναποδείκτῳ) τὸ δὲ συνημμένον τῆς συνυπάρξεως τῶν προειρημένων βεβαιούσης, κἀνταῦθα ὁ διάλληλος τρόπος τῆς ἀπορίας ἀνατρέπει τὴν ὑπόστασιν τοῦ λόγου. ὁμοίως δὲ καὶ ἐπὶ 200
τοῦ τοιούτου λόγου "εἰ ἡμέρα ἐστί, φῶς ἐστιν, οὐχὶ δὲ φῶς ἐστι, οὐκ ἄρα ἡμέρα ἐστίν"· ἐκ μὲν γὰρ τοῦ μὴ ἄνευ φωτὸς

homo, nullus autem homo quadrupes, Socrates igitur non est quadrupes" hanc quidem propositionem "nullus homo est quadrupes" ex singularibus per inductionem volentes confirmare, unamquamque autem singularium ex illa "nullus homo est quadrupes" colligere per syllogismum volentes in haesitationem vitiosae unum per alterum probare conantis rationis incidunt. 198. simili autem cum examine percurrere oportet etiam reliquas argumentationes quae apud Peripateticos vocantur indemonstrabiles, sed et eas etiam quae sunt huiusmodi "si dies est, lux est", nam et ex hoc "si dies est, lux est" aiunt firmiter colligi illud "lux est", rursumque hoc "lux est" cum altero "dies est" confirmativum illius esse "si dies est, lux est." non enim hoc supradictum connexum existimatum fuisset esse verum, nisi prius perspectum fuisset coëxistere semper "lux est" cum illo "dies est". 199. si igitur oportet ante comprehendisse quum dies est, necessario esse etiam lucem, ad componendum hoc connexum "si dies est, lux est"; hinc infertur, quum dies est, lucem esse, quum istud vero connexum, "si dies est, lux est", quantum ad praesentem attinet indemonstrabilem argumentationem, coëxistentiam colligat utriusque horum, et diem esse et lucem esse, vicissim autem coëxistentia horum confirmetur ab ipso connexo, hic quoque vitiosus modus probandi mutuo unum per alterum argumenti subsistentiam evertit. 200. idem dicendum est et de hoc argumento "si dies est, lux est, atqui lux non est, non igitur dies est". nam ex eo quod absque luce dies

---

p) ἐφοδευτέον] supra sect. 141 noster distinguit ἐφοδευτικῶς et ἐκκαλυπτικῶς, et sect. 222 huius libri σκεπτικῶν ἐφόδων meminit, praesenti autem loco per vocabulum ἐφοδεύειν nihil aliud significat quam similiter attingere in transcursu et ad examen breve revocare licere etiam caetera a Peripateticis iactata ἀναποδείκτων argumentorum genera. mox autem resumit expendenda Stoicorum ἀναπόδεικτα de quibus supra sect. 157 seq. P 111

q) διὰ δὲ τοῦ συνημμένου τούτου] ita mss pro ἐκ τούτου quod erat in editis.

ἡμέραν θεωρεῖσθαι ὑγιὲς ἂν εἶναι νομισθείη τὸ "εἰ ἡμέρα ἐστί, φῶς ἐστι" συνημμένον, ὡς εἴ γε καθ' ὑπόθεσιν "ἡμέρα μὲν φανείη ποτέ, φῶς δὲ μή", ψεῦδος ἂν λεχθείη τὸ συνημμένον εἶναι· ὅσον δὲ ἐπὶ τῷ προειρημένῳ ἀναποδείκτῳ, τὸ μὴ εἶναι ἡμέραν φωτὸς μὴ ὄντος διὰ τοῦ "εἰ ἡμέρα ἐστί, φῶς ἐστι" συνάγεται. ὥστε ἑκάτερον αὐτῶν πρὸς τὴν ἑαυτοῦ βεβαίωσιν χρῆζον r) τοῦ τὸ ἕτερον βεβαίως εἰλῆφθαι, ἵνα δι' αὐτοῦ πιστὸν
201 γένηται κατὰ τὸν διάλληλον τρόπον. ἀλλὰ καὶ ἐκ τοῦ μὴ δύνασθαι ἀλλήλοις συνυπάρχειν τινά, οἷον ἡμέραν, εἰ τύχοι, καὶ νύκτα, τό τε ἀποφατικὸν τῆς συμπλοκῆς τὸ "οὐχ ἡμέρα ἐστί, καὶ νὺξ ἐστί", καὶ τὸ διεζευγμένον τὸ "ἤτοι ἡμέρα ἐστὶν ἢ νὺξ ἐστιν" ὑγιῆ νομίζοιτο ἂν εἶναι. ἀλλὰ τὸ μὴ συνυπάρχειν αὐτὰ βεβαιοῦσθαι νομίζουσι διά τε τοῦ ἀποφατικοῦ τῆς συμπλοκῆς καὶ τοῦ διεζευγμένου λέγοντες "οὐχὶ ἡμέρα ἐστί, καὶ νὺξ ἐστιν· ἀλλὰ μὴν νὺξ ἐστιν, οὐκ ἄρα ἡμέρα ἐστίν" ἤτοι "ἡμέρα ἐστίν, ἢ νὺξ ἐστιν· ἀλλὰ μὴν νὺξ ἐστιν, οὐκ ἄρα ἡμέρα ἐστίν". ἢ
202 "οὐχὶ δὲ νὺξ ἐστιν, ἡμέρα ἄρα ἐστίν". ὅθεν ἡμεῖς πάλιν ἐπιλογιζόμεθα, ὅτι, εἰ μὲν πρὸς τὴν βεβαίωσιν τοῦ διεζευγμένου καὶ
P 112 τοῦ τῆς συμπλοκῆς ἀποφατικοῦ χρῄζομεν τοῦ προκατειληφέναι, ὅτι τὰ ἐν αὐτοῖς περιεχόμενα ἀξιώματά ἐστιν ἀσυνύπαρκτα, τὸ δὲ ἀσυνύπαρκτα ταῦτα εἶναι συνάγειν δοκοῦσι διά τε τοῦ διεζευγμένου καὶ τοῦ τῆς συμπλοκῆς ἀποφατικοῦ, ὁ δι' ἀλλήλων εἰσάγεται τρόπος, μὴ δυναμένων ἡμῶν μήτε τοῖς προειρημένοις τροπικοῖς s) πιστεύειν ἄνευ τοῦ τὸ ἀσυνύπαρκτον τῶν ἐν αὐτοῖς περιεχομένων ἀξιωμάτων καταλαβεῖν μήτε τὸ ἀσυνύπαρκτον αὐτῶν διαβεβαιοῦσθαι πρὸ τῆς τῶν συλλογισμῶν διὰ τῶν τροπι-

non possit spectari, verum esse hoc connexum existimabitur "si dies est, lux est". nam si, ut hoc supponamus, dies conspiceretur aliquando, lux non item, falsum diceretur esse illud connexum. quantum autem attinet ad illud quod diximus argumentum indemonstrabile, non esse diem, quando non lucet colligitur per hoc "si dies est, lucet"; adeo, ut eorum utrumque ad sui confirmationem opus altero habeat tamquam iam probatum sit sumpto, ut per ipsum fidem impetret, vitioso iterum illo probandi mutuo unum per alterum modo. 201. itidem etiam ex eo, quod aliqua sint quorum alterum cum altero coëxistere non possit, ut dies et nox, et haec negativa copulativa "non et dies est et nox est", et hoc disiunctum "aut dies est aut nox est" pro veris habebuntur. atqui ipsa non coëxistere confirmari putant per negatorium copulativae vel per disiunctivam dicentes, "non et dies est et nox est, atqui nox est, non ergo dies est"; item "aut dies est aut nox est; atqui nox est, non ergo dies est". vel sic "non autem est nox, dies ergo est". 202. unde nos rursum ratiocinamur, si ad confirmationem disiunctivae vel negationis copulativae necesse est ut prius comprehenderimus pronuncíata quae in iis continentur esse talia ut coëxistere simul non possint; quod incoëxistentia autem sint, per disiunctivam et per negativam copulativae colligere videntur ad modum vitiosum mutuo unum per alterum probandi nos redigi: quum neque praedictis connexis fidem habere possimus, nisi incoëxistentiam axiomatum quae in iis continentur, comprehenderimus, nec vero de hac eorum incoëxistentia affirmare ante syllogismorum

r) χρῆζον] ita mss rectius pro χρῇσον.

P 112 s) τροπικοῖς] ad sect. 3 huius libri demonstratum est, τροπικόν Stoicis dictum esse quod Peripateticis συνημμένον sive connexum. illum locum, si placet, vide, ubi etiam causam huius appellationis attulimus.

κῶν συνερωτήσεως. διόπερ οὐκ ἔχοντες πόθεν ἀρξόμεθα τῆς πί- 203
στεως διὰ τὸ παλίνδρομον, λέξομεν μήτε τὸν τρίτον [t]) μήτε τὸν
τέταρτον μήτε τὸν πέμπτον τῶν ἀναποδείκτων (ὅσον ἐπὶ τούτοις)
ὑπόστασιν ἔχειν. τοσαῦτα μὲν καὶ περὶ συλλογισμῶν ἐπὶ τοῦ
παρόντος ἀρκέσει λελέχθαι.

ΚΕΦ. ιε'.

Περὶ ἐπαγωγῆς.

Εὐπαραίτητον δὲ εἶναι νομίζω καὶ τὸν περὶ ἐπαγωγῆς τρό- 204
πον· ἐπεὶ γὰρ ἀπὸ τῶν κατὰ μέρος πιστοῦσθαι βούλονται δι'
αὐτῆς τὸ καθόλου, ἤτοι πάντα ἐπιόντες κατὰ μέρος τοῦτο ποιή-
σουσιν, ἤ τινα· ἀλλ' εἰ μέν τινα, ἀβέβαιος ἔσται ἡ ἐπαγωγή,
ἐνδεχομένου τοῦ ἐναντιοῦσθαι τῷ καθόλου τινὰ τῶν παραλει-
πομένων κατὰ μέρος ἐν τῇ ἐπαγωγῇ, εἰ δὲ πάντα, ἀδύνατα
μοχθήσουσιν, ἀπείρων ὄντων τῶν κατὰ μέρος ἀπεριορίστων. ὥσθ'
οὕτως ἑκατέρωθεν οἶμαι συμβαίνει σαλεύεσθαι τὴν ἐπαγωγήν.

ΚΕΦ. ις'.

Περὶ ὅρων.

Ἀλλὰ καὶ ἐπεὶ τῇ περὶ ὅρων δὴ τεχνολογίᾳ μέγα φρονοῦσιν 205
οἱ Δογματικοὶ ἣν τῷ λογικῷ μέρει τῆς καλουμένης φιλοσοφίας
ἐγκαταλέγουσι, φέρε οὖν καὶ περὶ ὅρων ὀλίγα ἐπὶ τοῦ παρόντος
εἴπωμεν. πρὸς πολλὰ τοίνυν χρησιμεύειν τοὺς ὅρους τῶν Δογμα-

per connexa illa adstructionem affirmare possimus. 203. itaque non habentes unde fidei faciendae initium sumamus, quod haec ita sint reciproca, dicemus ne tertiam quidem aut quartam neque quintam argumentationum indemonstrabilium (quantum quidem ad Dogmaticorum placita attinet) subsistentiam habere. hactenus et de syllogismis dixisse sufficiet in praesentia.

CAP. XV.

De inductione.

204. Per inductionem etiam argumentandi modum facile relici posse existimo. quoniam enim volunt per eam probare universale ex singularibus, aut omnia percurrentes singularia hoc facient, aut aliqua. sed si quidem aliqua tantum persequentur, non erit firma inductio, quum fieri possit ut aliqua ex praetermissis singularibus in inductione contraria reperiantur universali. sin omnia percurrere instituerint, aggredientur rem impossibilem, quum infinita sint singularia, nullisque circumscripta terminis. itaque sic contingit ut utroque modo nutet et vacillet inductio.

CAP. XVI.

De definitionibus.

205. Iam vero quum ob suum circa definitiones artificium valde se efferant Dogmatici, quod rationali parti philosophiae quam vocant annumerant, agedum etiam de definitionibus pauca quaedam in praesentia dicamus. quum ergo Dogmatici definitiones ad multa conferre existiment, duobus ni fallor

t) μήτε τὸν τρίτον etc.] tertium, quartum et quintum genus ἀναποδείκτων quae exposuit supra sect. 157 seq. articulum τὸν e mss addidi.

τικῶν δοκούντων δύο τὰ ἀνωτάτω κεφάλαια περιληπτικὰ πάσης
206 ἧς λέγουσιν ἀναγκαιότητος αὐτῶν ἴσως εὑρήσεις· ἢ γὰρ ὡς πρὸς κατάληψιν ἢ ὡς πρὸς διδασκαλίαν ἐν πᾶσι παραδεικνύουσι τοὺς ὅρους ἀναγκαίους. ἐὰν οὖν ὑπομνήσωμεν ὅτι πρὸς οὐδέτερον τού-
P 113 των χρησιμεύσουσι, περιτρέψομεν οἶμαι πᾶσαν τὴν γεγενημένην
207 περὶ αὐτῶν παρὰ τοῖς Δογματικοῖς ματαιοπονίαν. εὐθέως οὖν, εἰ ὁ μὲν ἀγνοῶν τὸ ὁριστὸν οὐχ οἷός τέ ἐστι τὸ μὴ γινωσκόμενον αὐτῷ ὁρίσασθαι, ὁ δὲ γινώσκων, εἶθ' ὁριζόμενος, οὐκ ἐκ τοῦ ὅρου τὸ ὁριστὸν κατείληφεν, ἀλλ' ἐπὶ προκατειλημμένῳ τούτῳ τὸν ὅρον ἐπισυντέθεικε, πρὸς κατάληψιν τῶν πραγμάτων ὁ ὅρος οὐκ ἔστιν ἀναγκαῖος· καὶ γὰρ ἐπεὶ πάντα μὲν ὁρίζεσθαι θέλοντες u) καθάπαξ οὐδὲν ὁριζόμεθα διὰ τὴν εἰς ἄπειρον ἔκπτωσιν, τινὰ δὲ καταλαμβάνεσθαι x) καὶ δίχα τῶν ὅρων ὁμολογοῦντες οὐκ ἀναγκαίους πρὸς κατάληψιν τοὺς ὅρους ἀποφαίνομεν, καθ' ὃν τρόπον τὰ μὴ ὁρισθέντα κατελήφθη, δυναμένων ἡμῶν πάντα
208 χωρὶς τῶν ὅρων καταλαμβάνειν ἢ καθάπαξ οὐδὲν ὁρισόμεθα (διὰ τὴν εἰς ἄπειρον ἔκπτωσιν) ἢ οὐκ ἀναγκαίους τοὺς ὅρους ἀποφανοῦμεν. διὰ δὲ ταῦτα οὐδὲ πρὸς διδασκαλίαν αὐτοὺς εὕροιμεν ἂν ἀναγκαίους· ὡς γὰρ ὁ πρῶτος τὸ πρᾶγμα γνοὺς ἔγνω τοῦτο χωρὶς ὅρου, κατὰ τὸ παραπλήσιον καὶ ὁ διδασκόμενος αὐτὸ
209 δύναται χωρὶς ὅρου διδαχθῆναι. ἔτι ἀπὸ τῶν ὁριστῶν ἐπικρίνουσι τοὺς ὅρους, καί φασι μοχθηροὺς ὅρους εἶναι y) τοὺς περι-

generalissimis capitibus omnem illum quem dicunt eorum necessarium usum contineri comperias; 206. nam aut ad rem comprehendendam aut ad docendi methodum in omnibus necessarias esse definitiones putant se posse ostendere. si igitur docuerimus ad neutrum horum utiles esse, evertemus, meo quidem iudicio, omnem vanum circa has Dogmaticorum laborem. 207. age ergo, si is quidem qui ignorat id quod definitur, non potest id quod ipsi est incognitum, definire, et is qui cognoscit ac postea definit, non comprehendit ex definitione id quod definitur, sed rei iam comprehensae apposuit definitionem, ad comprehensionem rerum definitio non est necessaria. etenim quoniam si omnia definire velimus, omnino nihil definiemus, eo quod in infinitum prolabemur; sin vero dicamus aliqua etiam absque definitionibus comprehendi, ostendimus nequaquam necessarias ad comprehensionem esse definitiones; nam quemadmodum quae non erant definita comprehendimus, sic etiam reliqua omnia absque definitionibus possemus comprehendere: 208. aut omnino nihil definiemus propter progressionem in infinitum aut non necessarias definitiones esse ostendemus, atque ideo ne ad docendum quidem necessarias eas esse comperiemus. nam ut qui primus rem cognovit, eam cognovit absque definitione, eodem modo et is qui ipsam docetur, potest sine definitione doceri. 209. praeterea ex iis quae definiuntur diiudicant definitiones, aiuntque vitiosas esse definitiones quae aliquid complectuntur eorum quae non

---

u) *πάντα μὲν ὁρίζεσθαι θέλοντες*] sunt enim quaedam evidentiora omni definitione, ut colores sapores et similia. deinde vita non sufficeret definiendis omnibus propter rerum et conceptionum multitudinem innumerabilem. mox pro *διὰ τὴν ἄπειρον ἔκπτωσιν* scripsi *εἰς ἄπειραν*, ut infra iterum recte legitur. intelligit autem in infinitum prolapsuros nos esse si omnia definire velimus, quoniam definitionis illius iterum singula sint vocabula definienda, atque harum definitionum iterum, atque ita *εἰς ἄπειρον*.

x) *τινὰ δὲ καταλαμβάνεσθαι*] ita mss pro *τινὰ δ' ἐγκαταλαμβάνεσθαι*.

y) *μοχθηροὺς ὅρους εἶναι*] vide Aristotelem sexto Topicorum, et Io. Damascenum t. 1 edit. Lequinianae p. 19.

ἔχοντάς τι τῶν μὴ προσόντων τοῖς ὁριστοῖς ἤτοι πᾶσιν ἢ τισίν. διόπερ ὅταν εἴπῃ τις τὸν ἄνθρωπον εἶναι ζῷον λογικὸν ἀθάνατον, ἢ ζῷον λογικὸν θνητὸν γραμματικόν, ὅπου μὲν μηδενὸς ὄντος ἀνθρώπου ἀθανάτου, ὅπου δὲ τινῶν μὴ γραμματικῶν ὄντων φασὶ μοχθηρὸν εἶναι τὸν ὅρον. τάχα μὲν καὶ ἀνεπίκριτοί 210
εἰσιν οἱ ὅροι διὰ τὴν ἀπειρίαν τῶν κατὰ μέρος, ἐξ ὧν ἐπικρίνεσθαι ὀφείλουσιν. εἶτα οὐκ ἂν καταληπτικοί τε καὶ διδακτικοὶ τούτων εἶεν ἐξ ὧν [z]) ἐπικρίνονται, δῆλον ὅτι προεπεγνωσμένων, εἴ γε ἄρα καὶ προκατειλημμένων. πῶς δὲ οὐκ ἂν εἴη γελοῖον τὸ λέγειν ὡς οἱ ὅροι χρησιμεύουσι πρὸς κατάληψιν ἢ διδασκαλίαν ἢ σαφήνειαν ὅλως, ἀσάφειαν ἡμῖν ἐπεισκυκλοῦντες τοσαύτην; οἷον γοῦν (ἵνα τι καὶ παίξωμεν) εἴ τις παρά του βουλόμενος 211
πυθέσθαι, εἰ ἀπήντηταί αὐτῷ ἄνθρωπος ἐπὶ ἵππου ὀχούμενος καὶ κύνα ἐφελκόμενος, τὴν ἐρώτησιν οὕτω ποιήσαιτο "ὦ ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν, ἀπήντητό σοι ζῷον γελαστικὸν πλατυώνυχον [a]) ἐπιστήμης πολιτικῆς [b]) δεκτικὸν ζῴῳ P 114
θνητῷ χρεμετιστικῷ τὰ σφαιρώματα [c]) ἐφηδρακός, ἐφελκόμενον ζῷον τετράπουν ὑλακτικόν"; πῶς οὐκ ἂν εἴη καταγέλαστος εἰς ἀφασίαν [d]) οὕτω γνωρίμου πράγματος ἐμβαλὼν τὸν ἄνθρωπον διὰ τοὺς ὅρους; οὐκοῦν ἄχρηστον εἶναι τὸν ὅρον, ὅσον ἐπὶ τούτοις, λεκτέον· εἴτ' οὖν λόγος εἶναι λέγοιτο διὰ βραχείας ὑπο- 212

insunt definitis aut omnibus aut aliquibus, adeo ut si quis dicat hominem esse animal rationale immortale, aut animal rationale mortale grammaticum, tum quod nullus sit homo immortalis, tum vero quod sint aliqui homines non grammatici, mendosam esse inquiant definitionem. 210 fortasse igitur ne diiudicari quidem possunt definitiones propter infinitatem singularium ex quibus diiudicari eas oportet deinde non possint facere ut comprehendantur et doceantur illa ex quibus ipsae diiudicantur, utpote iam praecognita, si quidem et iam ante comprehensa fuerint. ecquis vero ridiculum esse neget, dicere definitiones aut ad comprehendendum aut ad docendum aut omnino ad manifestandum conducere, quum nos tanta obscuritate involvant? 211. exempli gratia (libet enim paulisper iocari) si quis ab aliquo sciscitari velit an occurrerit ei homo insidens equo et canem secum ducens, interroget hoc modo "o animal rationale mortale intellectus et scientiae capax, occurritne tibi animal risibile latis unguibus scientiae politicae capax habens conglobationes natium firmatas super animali mortali hinniendi facultatem habente, quod secum ducit animal quadrupes latrativum? qui non sit hic risu excipiendus, qui hominem de re tam nota cogat obmutescere propter definitiones? itaque inutilem esse definitionem, quod ad Dogmaticorum placita quidem attinet, dicere necesse est; 212. sive dicatur esse oratio quae per brevem admoni-

z) ἐξ ὧν] ms Vratislav. ἐφ' ὧν. supra: ἀπὸ τῶν ὁριστῶν ἐπικρίνουσι.

a) πλατυώνυχον] in Platonis Definitionibus [p. 415 E]: ἄνθρωπος ζῷον P 114
ἄπτερον δίπουν πλατυώνυχον, ὃ μόνον τῶν ὄντων ἐπιστήμης τῆς κατὰ λόγους δεκτικόν ἐστι. vide et Laërtium 6 40.

b) ἐπιστήμης πολιτικῆς] Platoni hanc hominis definitionem noster tribuit lib. 1 adversus Logicos, et supra sect. 28, ubi si lubet dicta vide.

c) τὰ σφαιρώματα] nates globorum veluti formam dimidiatam referentes. scholiastes Aristophanis ad Pacem vers. 1238 ὄρρος ὁ ὑποκείμενος τοῖς σφαιρώμασι τόπος.

d) ἀφασίαν] ut quid dicatur, vel dicere ipse debeat, nesciat. de hac voce supra lib. 1 c. 20.

μνήσεως εἰς ἔννοιαν ἡμᾶς ἄγων τῶν ὑποτεταγμένων ταῖς φωναῖς πραγμάτων, ὧν δῆλόν γε οὐδὲν ἐκ τῶν μικρῷ [e]) πρόσθεν ἡμῖν εἰρημένων, εἴτε λόγος ὁ τὸ τί ἦν εἶναι [f]) δηλῶν, εἴτε ὃ βούλεταί τις. καὶ γὰρ τί ἐστιν ὁ ὅρος βουλόμενοι παριστᾶν [g]) εἰς ἀνήνυτον ἐμπίπτουσι διαφωνίαν, ἣν διὰ τὴν προαίρεσιν τῆς γραφῆς [h]) παρίημι νῦν, εἰ καὶ δοκεῖ διατρέπειν τοὺς ὅρους. τοσαῦτα μὲν καὶ περὶ ὅρων ἀπόχρη μοι νῦν λελέχθαι.

tionem nos ad notionem adducat subiectarum vocibus rerum, quorum certe nihil apparuit ex iis quae ante diximus, sive oratio indicans quid res sit, sive quodcumque alicui libuerit. nam volentes ostendere quid sit definitio in controversiam incidunt, ex qua se numquam expedire possint, quam propter praesentis tractationis institutum nunc omitto, licet alioqui et illa definitiones evertere videatur. nec vero de definitionibus plura mihi nunc dicenda arbitror.

---

e) ὧν δῆλόν γε οὐδὲν ἐκ τῶν μικρῷ] ita scripsi pro eo quod erat in editis: ὡς δῆλόν γε· οὐδὲ γὰρ ἐκ τῶν μικρῶν, atque ita ut a me scriptum est repperisse videtur in suo codice HStephanus, ut ex eius interpretatione apparet. μικρῷ πρόσθεν pro μικρῶν et sensus postulat et diserte habent mss Savil. et Vratislav. porro definitiones varias definitionis hoc loco Sextus perstringit, ut per hanc διαφωνίαν ostendat ne inter philosophos quidem constare quid sit definitio. in scholiis ineditis ad Dionysium Thracem ex variorum sententia definitio definitur hunc in modum: *Aristotelis*, λόγος ὁ τὸ τί τι (Etymolog. Magnum in ὅρος ὁ τὸ ὄντι εἶναι, sed utrobique legendum, τὸ τί ἦν εἶναι) εἶναι δηλῶν, sive τί ὤφειλεν εἶναι ἑκάστῳ. *Chrysippi*, ἰδίου ἀπόδοσις, τουτέστι λόγος τὸ ἴδιον ἀποδιδούς. Cicero 4 25 ad Herenn. *definitio est quae rei alicuius proprias amplectitur potestates breviter et absolute.* unde supplendus Laërtius 7 60 et Suidas in ὅρος, ubi ex Chrysippo περὶ ὅρων, nuda vox ἀπόδοσις legitur. *Antipatri* Stoici, λόγος κατ' ἀνάγκην ἐκφερόμενος, τουτέστι κατ' ἀναστροφήν, ut cum definito possit converti. *aliorum*, λόγος ἐκ τῶν καθόλου καὶ κοινῶν ἴδιόν τι ἀποτελῶν, quam definitionem habet etiam scriptor magni Etymologici. vel denique λόγος σύντομος δηλωτικὸς τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος, quae definitio proxime accedit ad eam quam hoc loco affert Sextus, et legitur etiam apud historiae philosophicae scriptorem quae inter Galeni opera exstat, capite 4 t. 2 edit. Paris. p. 25. Quintilian. 7 3 *finitio est rei propositae propria et dilucida et breviter comprehensa verbis enunciatio.* his addi potest quam ex Antipatri primo περὶ ὅρων afferunt Laërtius et Suidas locis laudatis: λόγος κατὰ ἀνάλυσιν ἀπαρτιζόντως ἐκφερόμενος.

f) τὸ τί ἦν εἶναι] frequens haec definitio definitionis apud Aristotelem, qui etiam docet per τὸ τί ἦν εἶναι essentiam rei se intelligere, vel ea quae illi proxime et simplicissime adhaerent, ut 6 6 Metaphys. ὅτι μὲν οὖν ἐστιν ὁρισμὸς ὁ τοῦ τί ἦν εἶναι λόγος, καὶ τὸ τί ἦν εἶναι ἢ μόνον τῶν οὐσιῶν ἐστιν, ἢ μάλιστα, καὶ πρώτως καὶ ἁπλῶς, δῆλον. Cicero in Topicis: *definitio est oratio quae id quod definitur explicat quid sit.* Alexander Aphrodiseus in 1 Topicor. p. 24 τοῦτο δὲ τὸ τί ἦν εἶναι ὡς ὀνοματικὸν μὲν συλλαβῶν ἐξενήνοχε. σημαίνει δὲ ὁ τὸ τί ἐστι, τὸ εἶναι σημαίνων τῷ ὁριστῷ. τουτέστι λόγος ἐστὶ δηλωτικὸς τοῦ τί ποτέ ἐστιν τὸ εἶναι ἐκείνῳ οὗ ἐστιν ὅρος. τῷ γὰρ ἦν οὐχ ὡς τοῦ παρελθόντος χρόνου δηλωτικῷ κέχρηται νῦν, ἀλλ' ἀντὶ τοῦ ἐστιν. confer eundem Alexandrum libro 2 cap. 25 ἀποριῶν καὶ λύσεων, et Ammonium in librum περὶ ἑρμηνείας p. 92.

g) παριστᾶν] ita scribendum pro περιστᾶν, quod erat in editis.

h) διὰ τὴν προαίρεσιν τῆς γραφῆς] propter studium brevitatis et scriptionis compendiosae, quod tot locis huius operis ipsoque titulo Sextus prae se fert ac profitetur.

ΚΕΦ. ιζ.

Περὶ διαιρέσεως.

Ἐπεὶ δέ τινες τῶν Δογματικῶν [i]) τὴν διαλεκτικὴν εἶναί φα- 213
σιν ἐπιστήμην συλλογιστικὴν ἐπαγωγικὴν ὁριστικήν, διελέχθημεν
δὲ ἡμεῖς ἤδη μετὰ τοὺς περὶ τοῦ κριτηρίου [k]) καὶ τοῦ σημείου
καὶ τῆς ἀποδείξεως λόγους περί τε συλλογισμῶν καὶ ἐπαγωγῆς P 115
καὶ περὶ ὅρων, οὐκ ἄτοπον ἡγούμεθα εἶναι καὶ περὶ διαιρέσεως
βραχέα διαλαβεῖν [l]). γίνεσθαι τοίνυν τὴν διαίρεσίν φασι τετρα-
χῶς [m])· ἢ γὰρ ὄνομα εἰς σημαινόμενα διαιρεῖσθαι, ἢ ὅλον εἰς
μέρη, ἢ γένος εἰς εἴδη, ἢ εἶδος εἰς τὰ καθ' ἕκαστον. ὅτι δὲ
οὐδενὸς τούτων ἐστὶν ἐπιστήμη διαιρετική, ῥᾴδιον ἴσως ἐπελθεῖν.

ΚΕΦ. ιη'.

Περὶ τῆς ὀνόματος εἰς σημαινόμενα διαιρέσεως.

Εὐθέως οὖν τὰς ἐπιστήμας τῶν φύσει φασὶν εἶναι, τῶν 214
θέσει δὲ οὐδαμῶς· καὶ εἰκότως. ἡ μὲν γὰρ ἐπιστήμη βέβαιόν
τι καὶ ἀμετάπτωτον πρᾶγμα εἶναι θέλει, τὰ δὲ θέσει ῥᾳδίαν
ἔχει καὶ εὐμετάπτωτον τὴν μεταβολήν, ταῖς ἐναλλαγαῖς τῶν θέ-

CAP. XVII.

De divisione.

213. Quia vero aliqui ex Dogmaticis dialecticam esse dicunt scientiam faciendi syllogismos inductiones definiendique et dividendi, nos autem post disputationem de criterio sive instrumento iudicandi et de signo et de demonstratione de syllogismis quoque deque inductione ac de definitionibus disseruimus, etiam disputationem de divisione paucis expedire minime ab instituto nostro alienum fore censemus. dicunt itaque divisionem fieri quadrifariam; aut enim nomen in significata dividi aut totum in partes aut genus in species aut speciem in singularia. atqui nullius horum esse scientiam divisivam non difficile puto singula examinando ostendere.

CAP. XVIII.

De nominis in significata divisione.

214. Iam ergo scientias aiunt esse earum rerum quae natura non positione hominum sunt, et merito. nam scientia stabilis quaedam et immobilis res esse debet, at quae sunt positione facile mutationi obnoxia fuerint, quippe quae diversitatibus positionum, quae in nostra potestate sunt, varientur, quum

---

i) τινὲς τῶν Δογματικῶν] Platonici. vide Alcinoum capite 3, ubi totam dialecticam dividit in τὸ διαιρετικὸν τὸ ὁριστικὸν τὸ ἐπαγωγικὸν καὶ τὸ συλλογιστικόν. ex hac divisione et ex iis quae Sextus ipse subiicit, perspicue apparet apud nostrum haud dubie post ὁριστικήν excidisse vocabulum διαιρετικήν, quam ideo non dubito ei restituendam esse.

k) περὶ τοῦ κριτηρίου] de criterio sive regula veri falsique dictum sect. 14 seq, de signo sect. 97, de demonstratione sect. 134, de syllogismis sect. 193, de inductione sect. 204, de definitione sect. 205 seq.

l) βραχέα διαλαβεῖν] ita mss pro βραχέως. P 115

m) τὴν διαίρεσιν τετραχῶς] in historia philosophica quae inter Galeni opera legitur c. 4 διαιρεῖσθαι δὲ νομίζουσιν ὀνόματα εἰς σημαινόμενα καὶ ὅλον εἰς μερικὰ μέρη καὶ γένη εἰς εἰδικὰ καὶ διαφορὰς εἰς τὸ καθ' ἕκαστον καὶ εἰς συμβεβηκότα. vide etiam Io. Damascenum t. 1 operum p. 15, ubi quattuor haec divisionis genera iterum subdividit.

σεων, αἵ εἰσιν ἐφ' ἡμῖν, ἑτεροιούμενα. ἐπεὶ οὖν τὰ ὀνόματα θέσει σημαίνει καὶ οὐ φύσει [n]) — πάντες γὰρ ἂν συνίεσαν πάντα τὰ ὑπὸ τῶν φωνῶν σημαινόμενα ὁμοίως Ἕλληνές τε καὶ βάρβαροι [o]), πρὸς τῷ καὶ ἐφ' ἡμῖν εἶναι τὰ σημαινόμενα οἷς ἂν βουλώμεθα ὀνόμασιν ἑτέροις ἀεὶ δηλοῦν τε καὶ σημαίνειν — πῶς ἂν δυνατὸν εἴη διαιρετικὴν ὀνόματος εἰς σημαινόμενα ἐπιστήμην, ἢ πῶς ἐπιστήμη σημαινόντων τε καὶ σημαινομένων, ὥς οἴονταί τινες, ἡ Διαλεκτικὴ δύναιτ' ἂν ὑπάρχειν;

ΚΕΦ. ιθ'.

Περὶ ὅλου καὶ μέρους.

215 Περὶ δὲ ὅλου καὶ μέρους διαλεξόμεθα μὲν καὶ ἐν τοῖς φυσικοῖς [p]) δὴ λεγομένοις, ἐπὶ δὲ τοῦ παρόντος περὶ τῆς λεγομένης διαιρέσεως τοῦ ὅλου εἰς τὰ μέρη αὐτοῦ τάδε λεκτέον. ὅταν λέγῃ τις διαιρεῖσθαι τὴν δεκάδα εἰς μίαν καὶ δύο καὶ τρία καὶ τέσσαρα, οὐ διαιρεῖται εἰς ταῦτα ἡ δεκάς· ἅμα γὰρ τῷ τὸ πρῶτον αὐτῆς ἀρθῆναι μέρος, ἵνα κατὰ συγχώρησιν νῦν τοῦτο δῶμεν, οἷον τὴν μονάδα, οὐκέτι ὑπόκειται ἡ δεκάς, ἀλλ' ἐννέα,
216 καὶ ὅλως ἕτερόν τι παρὰ τὴν δεκάδα. ἡ οὖν τῶν λοιπῶν ἀφαι-
P 116 ρεσίς τε καὶ διαίρεσις οὐκ ἀπὸ τῆς δεκάδος γίνεται, ἀλλ' ἀπό

igitur nomina positione significent et non natura — alioqui enim omnes intelligerent omnia quae a vocibus significantur Graeci pariter et barbari, praeterquam quod in nostra potestate est, ea quae significanda sunt declarare semper et significare quibuscumque velimus aliis nominibus — quomodo quaeso possit dari scientia divisiva nominis in sua significata? aut quomodo dialectica, ut quidam censent, scientia significantium et significatorum possit esse?

CAP. XIX.

De toto et parte.

215. De toto autem et parte disputabimus quidem etiam in physicis, ita enim appellant; in praesentia vero de divisione quae vocatur totius in partes suas, haec dicenda sunt: quum aliquis numerum v. g. denarium in unum et duo et tria et quattuor dividi ait, non dividitur in haec numerus denarius. nam simul atque eius prima pars sublata est, ut per concessionem hoc nunc demus, verbi gratia unitas, non amplius offert se denarius numerus, sed novem et omnino aliud quiddam quam denarius. 216. caeterorum ergo ablatio et divisio non iam fit a denario numero sed ab aliquibus aliis, quae,

---

n) *τὰ ὀνόματα θέσει σημαίνει καὶ οὐ φύσει*] contraria sententia Heracliti Cratyli Platonis in Cratylo Stoicorum apud Origenem 1 contra Celsum p. 18, Nigidii Figuli apud Gellium 10 4 et Epicuri apud Laërtium 10 75, qui statuerunt nomina non positiva esse sed naturalia. adde si placet infra lib. 3 sect. 267 et contra Mathematicos lib. 1 sect. 37 et 145 et 2 contra Logicos sect. 134 et lib. ult. quaeque de illa disceptatione Alexander Aphrodiseus 3 11 *ἀποριῶν καὶ λύσεων*, Arnobius lib. 1 contra Gentes p. 36, Ammonius ad librum *περὶ ἑρμηνείας* p. 15 edit. Graecae in fol. e recentioribus Gassendus de philosophia Epicuri t. 1 p. 361 seq. Fridericus Rappoltus *ὁ μακαρίτης* in Logica Gelliana capite 5 et quae viri docti ad Lucretium 5 1040 seq. Guil. Spencerus ad Origenem contra Celsum p. 19, Ioannes Potterus ad Clementem Alex. p. 405.

o) *Ἕλληνές τε καὶ βάρβαροι*] vide ad 2 contra Logicos sect. 187.

p) *ἐν τοῖς φυσικοῖς*] infra libro 3 sect. 98 seq. et 1 adversus Physicos.

τινων ἄλλων καθ' ἑκάστην ἀφαίρεσιν ἑτεροιουμένων. τάχα οὖν οὐκ ἐνδέχεται τὸ ὅλον διαιρεῖν εἰς τὰ λεγόμενα εἶναι αὐτοῦ μέρη. καὶ γὰρ εἰ διαιρεῖται τὸ ὅλον εἰς μέρη, φιλεῖ τὰ μέρη ἐμπεριέχεσθαι τῷ ὅλῳ πρὸ τῆς διαιρέσεως, οὐ περιέχεται δὲ ἴσως. οἷον γοῦν, ἵνα ἐπὶ τῆς δεκάδος στήσωμεν πάλιν τὸν λόγον, τῆς δεκάδος μέρος φασὶ πάντως εἶναι τὰ ἐννέα, διαιρεῖται οὖν εἰς ἓν καὶ ἐννέα, ἀλλὰ καὶ τὰ ὀκτὼ ὁμοίως, διαιρεῖται γὰρ εἰς ὀκτὼ καὶ δύο, καὶ τὰ ἑπτὰ ὁμοίως καὶ ἓξ καὶ πέντε καὶ τέσσαρα καὶ τρία καὶ δύο καὶ ἕν. εἰ οὖν ταῦτα πάντα q) ἐν τῇ 217
δεκάδι περιέχεται καὶ συντιθέμενα μετ' αὐτῆς πέντε καὶ πεντήκοντα γίνεται, ἐν τοῖς δέκα περιέχεται πέντε καὶ πεντήκοντα, ὅπερ ἄτοπον. οὐκοῦν οὔτε περιέχεται ἐν τῇ δεκάδι τὰ λεγόμενα αὐτῆς εἶναι μέρη οὔτε ἡ δεκὰς εἰς ἐκεῖνα διαιρεῖσθαι δύναται ὡς ὅλον εἰς μέρη, ἃ μηδὲ ὅλως ἐν αὐτῇ θεωρεῖται. τὰ δὲ αὐτὰ 218
ἀπαντήσεται καὶ ἐπὶ τῶν μεγεθῶν, ὅταν τὸ δεκάπηχυ μέγεθος, εἰ τύχοι, διαιρεῖν ἐθέλοι τις. οὐκ ἐνδέχεται οὖν ἴσως διαιρεῖν οὐδὲ ὅλον εἰς μέρη.

ΚΕΦ. κ'.

Περὶ γενῶν καὶ εἰδῶν.

Οὐκοῦν ὁ περὶ τῶν γενῶν καὶ τῶν εἰδῶν ἀπολείπεται λό- 219
γος, περὶ οὗ πλατύτερον μὲν ἐν ἄλλοις r) διαλεξόμεθα, ὡς ἐν συντόμῳ νῦν ταῦτα λέξομεν. εἰ μὲν ἐννοήματα εἶναι τὰ γένη καὶ τὰ εἴδη λέγουσιν, αἱ κατὰ τοῦ ἡγεμονικοῦ καὶ τῆς φαντα-

prout fit unaquaeque ablatio, variantur. itaque non licebit fortasse totum dividere in eas quae dicuntur esse eius partes. nam si dividitur totum in partes, solent partes contineri in toto ante divisionem; at non continentur. verbi gratia, (ut in denario numero rursus orationem nostram figamus) decadis partem dicunt omnino esse novem, (dividitur igitur in unum et novem), sed et octo similiter (dividitur enim in octo et duo), et septem similiter et sex et quinque et quattuor et tria et duo et unum. 217. si igitur haec omnia in decade continentur et composita cum ea quinquaginta quinque fiunt, nimirum in decem continentur quinquaginta quinque; quod absurdum est. ergo ne continentur quidem in decade ea quae dicuntur esse eius partes, nec decas in eas dividi potest, ut totum in partes, quae nullo modo in ipsa conspiciuntur. 218. eadem autem obiicientur et in magnitudinibus, si quis, verbi gratia, magnitudinem decem cubitorum dividere velit. fortasse igitur ne totum quidem potest in partes dividi.

CAP. XX.

De generibus et speciebus.

219. Superest ergo de generibus et speciebus tractatio, quam quidem fusius alibi persequemur, nunc vero, ut qui brevitati studeamus, haec dicere contenti erimus. si quidem notionibus mentis accensent genera et species, argumenta quae adversus mentem et phantasiam attulimus etiam ipsas

---

q) εἰ οὖν ταῦτα πάντα] similis argutatio infra lib. 3 sect. 86 et 1 contra Phys. sect. 303 seq. P 116

r) πλατύτερον μὲν ἐν ἄλλοις] hoc in iis quae exstant Sexti libris factum esse non memini. fortasse itaque id exsecutus fuerat in ὑπομνήμασι σκεπτικοῖς quorum facit mentionem lib. 1 cap. 33.

σίας ἐπιχειρήσεις αὐτοὺς διατρέπουσιν· εἰ δὲ ἰδίαν ὑπόστασιν
220 αὐτοῖς ἀπολείπουσι, τί πρὸς τοῦτο ἐροῦσιν; εἰ ἔστι τὰ γένη, ἤτοι τοσαῦτά ἐστιν ὅσα τὰ εἴδη, ἢ ἕν ἐστι s) κοινὸν πάντων τῶν εἰδῶν αὐτοῦ λεγομένων εἶναι εἶδος, ἤγουν γένος. εἰ μὲν οὖν τοσαῦτά ἐστι τὰ γένη, ὅσα τὰ εἴδη αὐτῶν, οὐκέτ' ἂν εἴη κοινὸν γένος, ὃ εἰς αὐτὰ διαιρεθήσεται· εἰ δὲ ἓν εἶναι λέγοιτο ἐν πᾶσι τοῖς εἴδεσιν αὐτοῦ τὸ γένος, ἤτοι ὅλου αὐτοῦ ἕκαστον εἶδος αὐτοῦ μετέχει ἢ μέρους αὐτοῦ· ἀλλὰ ὅλου μὲν οὐδαμῶς· ἀμήχανον γάρ ἐστιν ἕν τι ὑπάρχον ἄλλῳ καὶ ἄλλῳ κατὰ ταυτὸ περιέχεσθαι οὕτως, ὡς ὅλον ἐν ἑκάστῳ θεωρεῖσθαι τῶν ἐν οἷς εἶναι λέγεται· εἰ δὲ μέρους, πρῶτον μὲν οὐκ ἀκολουθήσει τῷ εἴδει τὸ γένος πᾶν, ὡς ὑπολαμβάνουσιν, οὐδὲ ὁ ἄνθρωπος ἔσται
P 117 ζῷον, ἀλλὰ μέρος ζῴου, οἷον οὐσία, οὔτε δὲ ἔμψυχος t) οὔτε
221 αἰσθητική. εἶτα μέντοι καὶ *) ἤτοι ταὐτοῦ λέγοιτο ἂν μετεσχηκέναι πάντα τὰ εἴδη μέρους τοῦ γένους αὐτῶν, ἢ ἑτέρου καὶ ἑτέρου· ἀλλὰ ταὐτοῦ μὲν οὐκ ἐνδέχεται διὰ τὰ προειρημένα· εἰ δὲ ἄλλου καὶ ἄλλου, οὔτε ὅμοια ἀλλήλοις ἔσται τὰ εἴδη κατὰ γένος (ὅπερ οὐ προσδέξονται) ἄπειρόν τε ἔσται γένος ἕκαστον εἰς ἄπειρα τεμνόμενον οὐ μόνον τὰ εἴδη, ἀλλὰ καὶ τὰ καθ' ἕκαστον, ἐν οἷς καὶ αὐτοῖς μετὰ τῶν εἰδῶν αὐτοῦ θεωρεῖται· οὐ γὰρ μόνον ἄνθρωπος, ἀλλὰ καὶ ζῷον ὁ Δίων u) εἶναι λέγεται. εἰ δὲ ταῦτα ἄτοπα, οὐδὲ κατὰ μέρος μετέσχηκε τὰ εἴδη
222 τοῦ γένους αὐτῶν ἑνὸς ὄντος. εἰ δὲ μήτε ὅλου μετέσχηκεν ἕκαστον εἶδος τοῦ γένους μήτε μέρους αὐτοῦ, πῶς ἂν λέγοιτο ἓν

evertunt. sin propriam subsistentiam illis relinquunt, quid ad hoc respondebunt? **220.** si genera sunt, aut tot sunt quot species; aut una est communis quaedam omnibus quae eius species esse dicuntur species, videlicet genus. si ergo tot sunt genera quot ipsorum species, non iam fuerit commune genus quod in ipsas dividetur; at si unicum esse dicatur in omnibus suis speciebus genus, unaquaeque illius species aut eius totius particeps est aut partis eius, sed totius quidem nequaquam. fieri enim non potest, ut quum unum quoddam exsistat in alio et alio eodem tempore contineatur, ita ut totum perspiciatur in unoquoque eorum in quibus esse dicitur: sin partem tantum accipit, primum quidem non communicabitur speciei genus totum, ut existimant; nec homo erit animal, sed pars animalis; verbi gratia substantia quidem, sed neque animata neque sensitiva. 221. deinde vero omnes species aut dicentur participes esse eiusdem partis generis sui, aut alius atque alius. sed eiusdem nullo modo propter iam dicta; at si alius atque alius, nec similes genere inter se erunt species (quod illi non admittent) et infinitum erit genus unumquodque, in infinitas scissum non solum species, sed in infinita etiam singularia, in quibus et ipsis cum speciebus suis spectatur. Dion enim non tantum homo, verum etiam animal esse dicitur. at si haec absurda sunt, ne parte quidem tenus species genus suum participant, quod unum est. 222. quodsi unaquaeque species neque totius particeps est generis neque partis eius, quomodo dici possit unum esse genus

---

s) ἕν ἐστι] ita ex mss legendum pro ἔνεστι. sic infra: εἰ δὲ ἓν εἶναι λέγοιτο, atque iterum: ἀμήχανον γάρ ἐστιν ἕν τι ὑπάρχον etc.

P 117 t) οὔτε δὲ ἔμψυχος] integra animalis definitio, repetita infra sect. 224 τὸ ζῷον οὐσία ἐστὶν ἔμψυχος καὶ αἰσθητική.

[*) verba μέντοι καὶ eiicienda videntur esse]

u) ὁ Δίων] tralatitium nomen pro quovis hominis nomine, ut monui ad lib. 1 c. 19. sic Θέωνι καὶ Δίωνι infra sect. 227, 228 et passim.

εἶναι γένος ἐν πᾶσι τοῖς εἴδεσιν αὐτοῦ, ὥστε καὶ εἰς αὐτὰ διαι-
ρεῖσθαι; τάχα οὐκ ἂν ἔχοι τὶς λέγειν, μὴ οὐχὶ ἀναπλάσσων τι-
νὰς εἰδωλοποιήσεις x), αἳ ταῖς ἐκείνων αὐτῶν ἀνεπικρίτοις δια-
φωνίαις y) κατὰ τὰς σκεπτικὰς ἐφόδους περιτραπήσονται. πρὸς 223
δὲ τούτοις κἀκεῖνο λεκτέον· τὰ εἴδη τοῖα ἢ τοῖά ἐστι· τούτων
τὰ γένη ἤτοι καὶ τοῖα καὶ τοῖα, ἢ τοῖα μὲν τοῖα δὲ οὔ, ἢ οὔτε
τοῖα οὔτε τοῖα. οἷον ἐπεὶ τῶν τινῶν τὰ μέν ἐστι σώματα τὰ δὲ
ἀσώματα, καὶ τὰ μὲν ἀληθῆ τὰ δὲ ψευδῆ, καὶ ἔνια μὲν λευκά,
εἰ τύχοι, ἔνια δὲ μέλανα, καὶ ἔνια μὲν μέγιστα ἔνια δὲ σμικρό-
τατα, καὶ τὰ ἄλλα ὁμοίως, τὸ "τὶ" λόγου ἕνεκεν ὅ φασιν εἶναί
τινες γενικώτατον z), ἢ πάντα ἔσται ἢ τὰ ἕτερα ἢ οὐδέν. ἀλλ' 224
εἰ μὲν οὐδέν ἐστιν ὅλως τὸ τὶ οὐδὲ τὸ γένος, πέρας*) ἔχοι ἡ
ζήτησις. εἰ δὲ πάντα εἶναι ῥηθείη, πρὸς τὸ ἀδύνατον εἶναι τὸ
λεγόμενον καὶ τῶν εἰδῶν καὶ τῶν καθ' ἕκαστον ἐν οἷς ἐστι δεήσει
πάντα εἶναι. ὡς γάρ, ἐπεὶ τὸ ζῷον, ὥς φασιν, οὐσία ἐστὶν ἔμ-
ψυχος αἰσθητική, ἕκαστον τῶν εἰδῶν αὐτοῦ καὶ οὐσία εἶναι λέ-
γεται καὶ ἔμψυχος καὶ αἰσθητική, οὕτως εἰ τὸ γένος καὶ σῶμά
ἐστι καὶ ἀσώματον, καὶ ψευδὲς καὶ ἀληθές, καὶ μέλαν (εἰ τύχοι)
καὶ λευκόν, καὶ σμικρότατον καὶ μέγιστον, καὶ τἄλλα πάντα,
ἕκαστον τῶν εἰδῶν καὶ τῶν καθ' ἕκαστον πάντα ἔσται, ὅπερ
οὐ θεωρεῖται· ψεῦδος οὖν καὶ τοῦτο. εἰ δὲ τὰ ἕτερα μόνα ἐστί, 225
τούτων τὸ γένος τῶν λοιπῶν οὐκ ἔσται γένος. οἷον, εἰ σῶμα P 118
τὸ τί, τῶν ἀσωμάτων, καὶ εἰ λογικὸν τὸ ζῷον, τῶν ἀλόγων·

in omnibus suis speciebus, ita ut etiam in eas dividatur? hoc certe nemo dicere queat, nisi forte fingat quasdam imagines umbrasque, quae etiam Dogmaticorum ipsorum indiiudicabilibus controversiis ac dissidiis secundum Scepticorum methodos evertentur. 223. his autem et illud addendum est, species aut tales sunt aut tales, harum genera aut sunt et talia et talia, aut sunt talia quidem, talia vero non, aut neque talia neque talia. verbi gratia, quoniam ex his vel illis (quaecumque sint ea) alia corpora sunt alia incorporea, et alia quidem vera alia autem falsa, et quaedam alba fortasse, quaedam nigra, et quaedam maxima et quaedam minima et alia similiter, ipsum "aliquid" verbi gratia quod dicunt quidam esse generalissimum, aut omnia erit aut alterutra aut nihil. 224. sed si nihil quidem prorsus sit "aliquid" nec genus, iam finita fuerit quaestio. sin dicatur esse omnia, praeterquam quod impossibile erit quod dicetur, oportebit ut sit omnia et specierum et singularium in quibus est. ut enim quia animal, ut aiunt, substantia est animata sensitiva, unaquaeque specierum eius et substantia esse dicitur et animata et sensitiva: eodem modo si genus sit et corpus et incorporeum, et falsum et verum, et (ut ita fingamus contingere) nigrum et album, et minimum et maximum, et alia omnia, unaquaeque specierum et unumquodque singulare erit omnia; quod evidentiae adversatur: falsum igitur etiam hoc. 225. at si alterutrum tantum sit, quod erit genus horum non erit genus reliquorum. ut, si aliquid corpus sit, incorporeorum, et si sit rationale animal, irrationalium: adeo ut neque

x) εἰδωλοποιήσεις] ideas Platonicas perstringit, quas consimili argumentatione oppugnat 2 adversus Physicos. vide et infra lib. 3 Pyrrhon. sect. 189.

y) ἀνεπικρίτοις διαφωνίαις] quoniam ab aliis philosophorum disciplinis ut a Peripatetica ideae illae exploduntur. oppugnavit enim ideas Aristoteles non modo in Metaphysicis, sed etiam in libris duobus περὶ ἰδεῶν quorum Syrianus p. 123 in Metaphysica mentionem facit.

z) τὸ τὶ γενικώτατον] supra sect. 86.

[*) πέρας ἂν ἔχοι?]

ὡς μήτε ἀσώματόν τι εἶναι a) ζῷον μήτε ἄλογον. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, ὅπερ ἄτοπον. οὐκοῦν οὔτε καὶ τοῖον καὶ τοῖον τὸ γένος, οὔτε τοῖον μὲν τοῖον δὲ οὔ, οὔτε μὴν οὔτε τοῖον οὔτε τοῖον δύναται εἶναι γένος· εἰ δὲ τοῦτο, οὐδὲ ἔστιν ὅλως τὸ γένος. εἰ δὲ λέγοι τις ὅτι δυνάμει πάντα ἐστὶ τὸ γένος, λέξομεν ὡς τὸ δυνάμει τι ὂν δεῖ τι καὶ ἐνεργείᾳ εἶναι. οἷον "οὐ δύναταί τις γραμματικὸς εἶναι, μή *) τις ἐνεργείᾳ". καὶ τὸ γένος οὖν εἰ δυνάμει πάντα ἐστίν, ἐρωτῶμεν αὐτοὺς τί ἔστιν ἐνεργείᾳ. καὶ οὕτω μένουσιν αἱ αὐταὶ ἀπορίαι. τἀναντία μὲν γὰρ πάντα ἐνερ-
226 γείᾳ εἶναι οὐ δύναται. ἀλλ' οὐδὲ τὰ μὲν καὶ ἐνεργείᾳ, τὰ δὲ δυνάμει μόνον, οἷον "σῶμα μὲν ἐνεργείᾳ, δυνάμει δὲ ἀσώματον"· δυνάμει γάρ ἐστιν ὃ οἷόν τέ ἐστιν ἐνεργείᾳ ὑποστῆναι· τὸ δὲ σῶμα ἐνεργείᾳ, ἀδύνατόν ἐστιν ἀσώματον γενέσθαι κατ' ἐνέργειαν. ὥστε εἰ λόγου χάριν σῶμά ἐστιν ἐνεργείᾳ, οὐκ ἔστιν ἀσώματον δυνάμει· καὶ τὸ ἀνάπαλιν. οὐκοῦν οὐκ ἐνδέχεται τὸ γένος τὰ μὲν ἐνεργείᾳ εἶναι, τὰ δὲ δυνάμει μόνον. εἰ δὲ οὐδὲν ὅλως ἐστὶν ἐνεργείᾳ οὐδὲ ὑφέστηκεν, οὐκοῦν οὐδέν ἐστι τὸ γένος, ὃ διαιρεῖν εἰς τὰ εἴδη λέγουσιν. ἔτι καὶ τοῦτο θεάσασθαι ἄξιον·
227 ὥσπερ γὰρ ἐπεὶ αὐτός ἐστιν Ἀλέξανδρος καὶ Πάρις, οὐκ ἐνδέχεται τὸ μὲν "Ἀλέξανδρος περιπατεῖ" ἀληθὲς εἶναι, τὸ δὲ "Πάρις περιπατεῖ" ψεῦδος. οὕτως εἰ τὸ αὐτό ἐστι τῷ "ἀνθρώπῳ εἶναι Θέωνι καὶ Δίωνι", εἰς σύνταξιν ἀξιώματος ἀγομένη ἡ "ἄνθρωπος" προσηγορία, ἢ ἀληθὲς ἢ ψεῦδος ἐπ' ἀμφοτέρων ποιήσει τὸ ἀξίωμα. οὐ θεωρεῖται δὲ τοῦτο· τοῦ μὲν γὰρ Δίωνος καθημένου Θέωνος δὲ περιπατοῦντος, τό "ἄνθρωπος περιπατεῖ"

incorporeum quid sit neque animal irrationale, et de aliis similiter, quod absurdum est. genus itaque nec est et tale et tale, nec tale quidem tale autem non; quin etiam nec tale nec tale potest esse genus. quodsi ita est, ne ullo quidem modo est genus. iam vero si quis dicat genus esse omnia potentia, respondebimus, id quod sit aliquid potentia debere et actu aliquid esse. exempli gratia, "non potest aliquis grammaticus esse absque actu." genus ergo si potentia est omnia, interrogamus eos quid sit actu; et ita manent eaedem dubitationes. nam genus contraria omnia actu esse non potest. 226. sed neque alia quidem actu quoque, alia vero potentia solum, ut "corpus quidem actu, potentia autem incorporeum"; potentia enim est quod potest actu subsistere: at quod est corpus actu, non potest incorporeum esse actu. itaque verbi gratia "si corpus est actu, non est incorporeum potentia; et vicissim. itaque dicere non possumus genus alia esse actu, alia tantum potentia. quodsi nihil omnino actu illud est neque subsistit, nihil ergo est genus, quod a se dividi in species dicunt. 227. sed et hoc considerare est operae pretium. quemadmodum enim quia idem est Alexander et Paris, fieri non potest ut "Alexander ambulat" sit verum, at vero "Paris ambulat" sit falsum, ita si idem est "hominem esse et Theonem esse vel Dionem", haec appellatio "homo" si ad constituendum pronuntiatum afferatur, aut verum aut falsum in utrisque pronuntiatum faciet. atqui hoc ita esse non comperitur. nam quum Dion sedet, Theon autem

---

P 118 a) *ἀσώματόν τι εἶναι*] hunc locum interpunctione laborantem restitui. falsam interpunctionem secutus HStephanus ita hunc locum verterat: *ut neque incorporeum sit aliquod animal, neque irrationale.* [num ἀσώμ. το τὶ deinde *μήτε ζῷον ἄλογον*?]

[*) *εἰ μή*?]

ἐφ' οὗ μὲν λεγόμενον ἀληθές ἐστιν, ἐφ' οὗ δὲ ψεῦδος. οὐκ ἄρα κοινή ἐστιν ἀμφοτέρων ἡ "ἄνθρωπος" προσηγορία καὶ ἡ αὐτὴ ἀμφοῖν, ἄλλη ἄρα b) ἰδία ἑκατέρου.

ΚΕΦ. κα'.

Περὶ κοινῶν συμβεβηκότων.

Παραπλήσια δὲ λέγεται καὶ περὶ τῶν κοινῶν συμβεβηκότων· 228
εἰ γὰρ ἓν καὶ τὸ αὐτὸ συμβέβηκε Δίωνί τε καὶ Θέωνι τὸ ὁρᾶν, ἐὰν (καθ' ὑπόθεσιν) φθαρῇ μὲν Δίων, Θέων δὲ περιῇ καὶ ὁρᾷ, ἤτοι τὴν ὅρασιν τοῦ ἐφθαρμένου Δίωνος ἄφθαρτον μένειν ἐροῦσιν, ὅπερ ἀπεμφαίνει, ἢ τὴν αὐτὴν ὅρασιν ἐφθάρθαι τε καὶ μὴ ἐφθάρθαι λέξουσιν, ὅπερ ἄτοπον· οὐκ ἄρα ἡ Θέωνος ὅρασις ἡ αὐτή ἐστι τῇ Δίωνος· ἄλλη ἄρα ἰδία ἑκατέρου. καὶ γὰρ εἰ ταὐ- P 119
τὸν συμβέβηκε Δίωνί τε καὶ Θέωνι τὸ ἀναπνεῖν, οὐκ ἐνδέχεται τὴν ἐν Θέωνι ἀναπνοὴν εἶναι, τὴν ἐν Δίωνι δὲ μὴ εἶναι· ἐνδέχεται δὲ τοῦ μὲν φθαρέντος, τοῦ δὲ περιόντος, οὐκ ἄρα ἡ αὐτή ἐστι. περὶ μὲν οὖν τούτων ἐπὶ τοσοῦτον νῦν ἀρκέσει συντόμως λελέχθαι.

ΚΕΦ. κβ'.

Περὶ σοφισμάτων.

Οὐκ ἄτοπον δὲ ἴσως καὶ τῷ περὶ τῶν σοφισμάτων ἐπιστῆ- 229
ναι*) λόγῳ διὰ βραχέων, ἐπεὶ καὶ εἰς τὴν τούτων διάλυσιν ἀναγκαίαν εἶναι λέγουσι τὴν διαλεκτικὴν οἱ σεμνύνοντες αὐτήν. εἰ γὰρ τῶν τε ἀληθῶν καὶ ψευδῶν λόγων c), φασίν, ἐστὶν αὐτὴ

ambulat, istud pronuntiatum "homo sedet" de hoc quidem dictum verum est, de illo autem falsum. non est igitur communis utrisque appellatio haec "homo" et una eademque ambobus, sed certe alia, utrique peculiaris.

CAP. XXI.

De communibus accidentibus.

228. Similia dici possunt et de communibus accidentibus; nam si unum et idem accidit Dioni et Theoni, nimirum videre, si ponamus interire quidem Dionem, superstitem autem esse Theonem et videre, aut visum Dionis qui interiit incorruptum manere dicent, quod rei evidentiae repugnat, aut eundem visum interiisse et non interiisse. quod est absurdum. non igitur Theonis visus idem est cum visu Dionis; ergo est diversus utrique peculiaris. nam si eadem accidit Dioni et Theoni respiratio, fieri non possit ut intra Theonem respiratio sit adhuc, intra Dionem esse desierit; atqui fieri potest, si hic obierit, ille sit superstes; non ergo eadem est. sed enim de his haec breviter dicta nunc sufficiant.

CAP. XXII.

De sophismatibus.

229. Nec vero absurdum fuerit in disputatione de sophismatibus paulisper immorari, quoniam et ad haec solvenda necessariam esse dicunt dialecticam ii qui illam celebrant. nam si, inquiunt, per hanc verae et falsae argumentationes dignoscuntur, sunt autem etiam sophismata falsae argumen-

---

b) ἄλλη ἄρα] ita retinui, licet in ms Vratislav. et hoc loco et paullo infra legeretur ἀλλ' ἔτ' ἄρα. [ἀλλ' ἰδία ἑκα.?]

[*) legebatur ἐπιστῆσαι]

c) τῶν τε ἀληθῶν καὶ ψευδῶν λόγων] huc facit definitio dialecticae P 119

διαγνωστική, ψευδεῖς δὲ λόγοι καὶ τὰ σοφίσματα, καὶ τούτων ἂν εἴη διακριτικὴ λυμαινομένων τὴν ἀλήθειαν φαινομέναις πιθανότησιν. ὅθεν ὡς βοηθοῦντες οἱ Διαλεκτικοὶ d) σαλεύοντι τῷ βίῳ καὶ τὴν ἔννοιαν καὶ τὰς ἐπιφορὰς καὶ τὰς ἐπιλύσεις δὴ τῶν σοφισμάτων μετὰ σπουδῆς ἡμᾶς πειρῶνται διδάσκειν, λέγοντες σόφισμα εἶναι λόγον πιθανὸν καὶ δεδολιευμένον, ὥστε προσδέξασθαι τὴν ἐπιφορὰν ἤτοι ψευδῆ ἢ ὁμοιωμένην ψευδεῖ ἢ ἄδη-
230 λον ἢ ἄλλως ἀπρόσδεκτον. οἷον ψευδῆ μὲν ὡς ἐπὶ τοῦ σοφίσματος ἔχει "οὐδεὶς δίδωσι κατηγόρημα πίνειν· κατηγόρημα δέ ἐστι τὸ ἀψίνθιον πιεῖν· οὐδεὶς ἄρα δίδωσιν ἀψίνθιον πιεῖν"· ἔτι δὲ ὅμοιον ψευδεῖ ὡς ἐπὶ τούτου "ὃ μήτε ἐνεδέχετο μήτε ἐνδέχεται, τοῦτο οὐκ ἔστιν ἄτοπον e)· οὔτε δὲ ἐνεδέχετο οὔτε ἐν-
231 δέχεται τὸ "ἰατρὸς καθ' ὃ ἰατρός ἐστι, φονεύει". ἔτι δὲ ἄδηλον οὕτως "οὐχὶ καὶ ἠρώτηκά τί σε πρῶτον καὶ οὐχὶ οἱ ἀστέρες ἄρτιοί εἰσιν, ἠρώτηκα δέ τί σε πρῶτον, εἰ ἄρα ἀστέρες ἄρτιοί εἰσιν". ἔτι δὲ ἀπρόσδεκτον ἄλλως, ὡς οἱ λεγόμενοι σολοικίζοντες λόγοι οἷον "ὃ βλέπεις, ἔστι· βλέπεις δὲ φρενιτικόν, ἔστιν ἄρα φρενιτικόν" f). "ὃ ὁρᾷς, ἔστιν· ὁρᾷς δὲ φλεγμαίνοντα
232 τόπον, ἔστιν ἄρα φλεγμαίνοντα τόπον". εἶτα μέντοι καὶ τὰς ἐπιλύσεις αὐτῶν ὁρᾶν ἤτοι παριστᾶν ἐπιχειροῦσι, λέγοντες ἐπὶ μὲν τοῦ πρώτου σοφίσματος ὅτι ἄλλο διὰ τῶν λημμάτων συγκεχώρηται καὶ ἄλλο ἐπενήνεκται· συγκεχώρηται γὰρ τὸ "μὴ πίνειν

tationes, horum etiam esse possit diiudicativa, quae veritatem specie verisimilitudinis corrumpunt. unde Dialectici tamquam auxiliantes labanti vitae communi magno studio ad tradendam sophismatum notionem et differentias et solutiones incumbunt, dicentes sophisma esse argumentationem verisimilem et fraudulentam, quae recipiat conclusionem aut falsam aut similem falsae aut obscuram aut alio quovis modo non recipiendam. 230. falsam quidem, ut in hoc sophismate habes "nemo categorema bibendum exhibet, est autem categorema absinthium bibere, nemo igitur absinthium bibendum exhibet". falsae autem similem ut in hoc "quod neque fieri poterat nec fieri potest hoc non est absurdum, at neque fieri poterat neque potest ut medicus, quatenus est medicus, occidat. 231. obscuram vero ut in hoc "non et interrogavi aliquid primum et stellae pares non sunt numero: interrogavi autem te primum utrum stellae essent numero pares. aut alia quavis de causa non recipiendam, ut quae vocantur argumenta soloecissantia, ut "quod vides est, vides autem phreniticum, est igitur phreniticum" itidem, "quod vides est, vides autem inflammatum locum, est igitur inflammatum locum". 232. postea vero et solutiones eorum videre id est ostendere conantur, dicentes in primo quidem sophismate aliud per

---

quae fuit supra sect. 94, quod sit ἐπιστήμη ψευδῶν καὶ ἀληθῶν καὶ οὐδετέρων. [pro αὐτὴ scribendum αὕτη]

d) οἱ Διαλεκτικοὶ] Stoicos innuit, ut aliis huius operis locis, quos deridens ait per suas de cavillationibus argutationes σαλεύοντι τῷ βίῳ succurrere voluisse, quasi sine illis necesse esset vitam humanam temere agi incertam et infelicem fluctuare.

e) τοῦτο οὐκ ἔστι ἄτοπον] hoc falsum sane videtur, sed quia Stoici negabant pronuntiatum ullum dari ἄτοπον, licet vera esse alia, alia falsa non diffiterentur, ideo ex illorum sententia, quod hoc argumento colligitur verum est, ut Sextus infra sect. 233 declarat.

f) φρενιτικόν] soloecismus pro φρενιτικός, ut mox φλεγμαίνοντα τόπον pro φλεγμαίνων τόπος.

σθαι κατηγόρημα", καὶ εἶναι κατηγόρημα τὸ ἀψίνθιον πίνειν, οὐκ αὐτὸ τὸ ἀψίνθιον. διὸ δέον ἐπιφέρειν "οὐδεὶς ἄρα πίνει τὸ P 120 'ἀψίνθιον πίνειν'" ὅπερ ἐστὶν ἀληθὲς ἐπενήνεκται "οὐδεὶς ἄρα ἀψίνθιον πίνει", ὅπερ ἐστὶν ψεῦδος, οὐ συναγόμενον ἐκ τῶν συγκεχωρημένων λημμάτων. ἐπὶ δὲ τοῦ δευτέρου, ὅτι δοκεῖ μὲν 233 ἐπὶ ψεῦδος ἀπάγειν [g]), ὡς ποιεῖν τοὺς ἀνεπιστάτους ὀκνεῖν αὐτῷ συγκατατίθεσθαι, συνάγει δὲ ἀληθὲς τό "οὐκ ἄρα ἄτοπόν ἐστι [h]) τό 'ὁ ἰατρός, καθ' ὃ ἰατρός ἐστι, φονεύει'". οὐδὲν γὰρ ἀξίωμα ἄτοπόν ἐστιν [i]), ἀξίωμα δέ ἐστι [k]) τό "ἰατρός, καθ' ὃ ἰατρός ἐστι, φονεύει", διὸ οὐδὲ τοῦτο ἄτοπον. ἡ δὲ ἐπὶ τὸ ἄδηλον 234 ἐπαγωγὴ φασὶν ὅτι ἐκ τοῦ γένους τῶν μεταπιπτόντων ἐστί· μηδενὸς γὰρ προηρωτημένου, κατὰ τὴν ὑπόθεσιν, τὸ ἀποφατικὸν τῆς συμπλοκῆς ἀληθὲς γίνεται, ψευδοῦς τῆς συμπλοκῆς οὔσης, παρὰ τὸ ἐμπεπλέχθαι ψεῦδος τὸ "ἠρώτηκά τί σε πρῶτον" ἐν αὐτῇ. μετὰ δὲ τὸ ἐρωτηθῆναι τὸ ἀποφατικὸν τῆς συμπλοκῆς, τῆς προλήψεως ἀληθοῦς γινομένης, ἠρώτηκα δέ τί σε πρῶτον, (διὰ τὸ ἠρωτῆσθαι πρὸς τῆς προλήψεως [l]) τὸ ἀποφατικὸν τῆς συμπλοκῆς) ἡ τοῦ ἀποφατικοῦ τῆς συμπλοκῆς πρότασις γίνεται ψευδής, τοῦ ἐν τῷ συμπεπλεγμένῳ ψευδοῦς γενομένου ἀληθοῦς, ὡς μηδέποτε δύνασθαι συναχθῆναι τὸ συμπέ-

sumptiones esse concessum et aliud esse illatum. concessum est enim non bibi categorema et esse categorema absinthium bibere, non ipsum absinthium. itaque quum esset inferendum "nemo ergo bibit hoc ipsum, absinthium bibere" quod est verum illatum est "nullus ergo absinthium bibit", quod est falsum, nec colligitur ex concessis sumptionibus. 233. in secundo autem dicunt ipsum videri quidem ad falsum abducere, adeo ut qui non bene animadvertunt dubitent an illi assentiri debeant, colligere tamen verum, hoc videlicet "non ergo absurdum est illud 'medicus, quatenus est medicus, interficit'". nullum enim pronuntiatum absurdum est; pronuntiatum autem est hoc "medicus, quatenus est medicus, interficit". ergo ne hoc quidem est absurdum. 234. at vero in obscurum abductionem aiunt ex genere esse eorum quae pro statu variant. nam si nulla, ut supponebatur, interrogatio praecesserit, negatio connexi copulativi vera redditur, quum ipsum copulativum connexum sit falsum eo quod insertum sit ipsi falsum, hoc videlicet "interrogavi te aliquid"; ubi autem interrogatio de negativo connexi facta fuerit, quum assumptum verum reddatur, quod est "interrogavi autem te primum" eo quod de negatione copulativi connexi in assumpto interrogatio fuerit, negativa connexi copulativi propositio falsa redditur, postquam id quod in connexo copulativo falsum erat, verum factum est, eo ut numquam

g) ὅτι δοκεῖ μὲν ἐπὶ ψεῦδος ἀπάγειν] videtur enim falsum esse, ut P 120 dixi, si quis neget absurdum esse quod neque fieri potuit nec potest, vel si negetur esse absurdum, ut medicus quatenus medicus est occidat.

h) οὐκ ἄρα ἄτοπόν ἐστι] falsum equidem est. nam ut medicus utique sanat aegrotum et morbo medetur, occidit autem vel ut rei medicae imperitus, vel ex malitia ut hostis et insidiator atque veneficus. at ἄτοπον hoc non est, quia est integrum pronuntiatum.

i) οὐδὲν γὰρ ἀξίωμα ἄτοπόν ἐστιν] pronuntiatum est quod affirmat aliquid vel negat. hoc si non faceret, ἄτοπον ad μοχθηρόν esset, sed ita nec ἀξίωμα sive pronuntiatum.

k) ἀξίωμα δέ ἐστι] est pronuntiatum, in cuius forma nihil habet Logicus quod desideret.

l) πρὸς τῆς προλήψεως] ita ms Savil. non, ut editi, πρό.

ρασμα, μὴ συνυπάρχοντος τοῦ ἀποφατικοῦ τῆς συμπλοκῆς τῇ
235 προσλήψει. τοὺς δὲ τελευταίους φασὶν ἔνθα[m]) τοὺς σολοικίζον-
τας λόγους ἀτόπως ἐπάγειν παρὰ τὴν συνήθειαν. τοιαῦτα μὲν
οὖν τινες Διαλεκτικοί φασι περὶ σοφισμάτων (καὶ γὰρ ἄλλοι ἄλλα
λέγουσιν)· ταῦτα δὲ τὰς μὲν τῶν εἰκαιοτέρων[n]) ἀκοὰς ἴσως δύ-
ναται γαργαλίζειν, περιττὰ δέ ἐστι καὶ μάτην αὐτοῖς πεπονημένα.
καὶ τοῦτο δυνατὸν μὲν ἴσως καὶ ἀπὸ τῶν ἤδη λελεγμένων ἡμῖν
ὁρᾶν· ὑπεμνήσαμεν γὰρ ὅτι μὴ δύναται τὸ ἀληθὲς καὶ τὸ ψεῦ-
δος[o]) κατὰ τοὺς Διαλεκτικοὺς καταλαμβάνεσθαι, ποικίλως τε
ἄλλως καὶ τῷ τὰ μαρτύρια τῆς συλλογιστικῆς δυνάμεως αὐτῶν
τὴν ἀπόδειξιν[p]) καὶ τοὺς ἀναποδείκτους[q]) διατρέπεσθαι λόγους.
236 εἰς δὲ τὸν προκείμενον τόπον ἰδίως καὶ ἄλλα μὲν πολλὰ λέγειν
ἔνεστιν, ὡς δὲ ἐν συντόμῳ νῦν τόδε λεκτέον. ὅσα μὲν σοφίσματα
ἰδίως ἡ διαλεκτικὴ δύνασθαι δοκεῖ διελέγχειν, τούτων ἡ διάλυσις
ἄχρηστός ἐστιν, ὅσων δὲ ἡ διάλυσις χρησιμεύει, ταῦτα ὁ μὲν
P 121 διαλεκτικὸς οὐκ ἂν διαλύσειεν, οἱ δὲ ἐν ἑκάστῃ τέχνῃ τὴν ἐπὶ
237 τῶν πραγμάτων παρακολούθησιν ἐσχηκότες. εὐθέως γοῦν, ἵνα
ἑνὸς ἢ δευτέρου μνησθῶμεν παραδείγματος, ἐρωτηθέντος ἰατρῷ
τοιούτου σοφίσματος "κατὰ τὰς νόσους ἐν ταῖς παρακμαῖς[r]) τήν
τε ποικίλην δίαιταν καὶ τὸν οἶνον δοκιμαστέον· ἐπὶ πάσης δὲ τυπώ-
σεως νόσου[s]) πρὸ τῆς πρώτης διατρίτου[t]) [πάντως] γίνεται παρακμή·

possit colligi conclusio, nisi negativa connexi copulativi simul sit assumpta. 235. ultimas autem e cavillationibus soloecissantes orationes aiunt absurde inferre praeter loquendi consuetudinem. talia quidem disserunt aliqui dialectici de sophismatibus (nam alii alia disputant); ea autem simplicium aures titillare fortasse possunt, sunt tamen supervacanea et vano labore excogitata. et hoc quidem vel ex iis quae iam dicta sunt possit fortassis animadverti. docuimus enim nec verum nec falsum posse secundum Dialecticos comprehendi, cum aliis variis modis, tum vero eversis orationibus indemonstrabilibus et demonstratione, quae sunt syllogisticae eorum facultatis testimonia. 236. tamen ad hunc locum peculiariter cum alia multa possunt afferri, tum vero hoc brevitati studentes dicendum habemus. quotquot quidem sophismata proprie a dialectica videntur posse refelli, horum solutio inutilis est; quorum autem solutio est utilis, haec nequaquam Dialecticus solvere possit, sed ii qui in unaquaque arte, rerum cognitionem versando in iis, adepti sunt. 237. iam enim, ut unum aut alterum exemplum ponamus, si propositum fuerit medico tale sophisma "in morborum remissionibus variam victus rationem et vini potum admittere oportet: at quum formatur quivis morbus, ante primos tres dies omnino fieri consuevit remis-

m) ἔνθα] ita recte mss pro ἔνιοι.

n) εἰκαιοτέρων] ms Vratislav. οἰκειοτέρων, minus bene.

o) τὸ ἀληθὲς καὶ τὸ ψεῦδος] supra sect. 80 seq.

p) τὴν ἀπόδειξιν] sect. 144 seq.

q) τοὺς ἀναποδείκτους] sect. 156 seq.

P 121 r) ἐν ταῖς παρακμαῖς] in ἀκμῇ morbi Hippocrates praecipit λεπτοτάτῃ διαίτῃ χρέεσθαι, Aphorismo 8. Hippocratem secutus Celsus 3 6 *neque inter magnos dolores neque increscente morbo tutum est, aegrum cibo impleri, sed ubi inclinata iam in melius valetudo est.* ποικίλην δίαιταν idem Celsus reddit *varios cibos*, nec male HStephanus *variam victus rationem.*

s) ἐπὶ πάσης δὲ τυπώσεως νόσου] τύπωσιν morbi medicorum natio appellat quando iam ille se formavit ad statas ordinatasque intensionum ac remissionum vices, ex quibus forma ratio ac τύπος morbi intelligitur. Galeno ἐπιτάσεων καὶ ἀνέσεων τεταγμένη ἀνταπόδοσις.

t) πρὸ τῆς πρώτης διατρίτου] ms Savil. addit πάντως. at Sextus infra:

ἀναγκαῖον ἄρα πρὸ τῆς πρώτης διατρίτου τήν τε ποικίλην δίαιταν καὶ τὸν οἶνον ὡς τὸ πολὺ παραλαμβάνειν", ὁ μὲν Διαλεκτικὸς οὐδὲν ἂν εἰπεῖν ἔχοι πρὸς διάλυσιν τοῦ λόγου· καίτοι χρησίμην οὖσαν, ὁ δὲ ἰατρὸς διαλύσεται τὸ σόφισμα, εἰδὼς ὅτι 238
παρακμὴν λέγεται διχῶς, ἥ τε τοῦ ὅλου νοσήματος καὶ ἡ ἑκάστης ἐπιτάσεως μερικῆς ἀπὸ τῆς ἀκμῆς ῥοπὴ πρὸς τὸ κρεῖσσον. καὶ πρὸ μὲν τῆς πρώτης διατρίτου u) ὡς τὸ πολὺ γίνεται παρακμὴ ἡ τῆς ἐπιτάσεως τῆς μερικῆς· τὴν δὲ ποικίλην δίαιταν οὐκ ἐν ταύτῃ δοκιμάζομεν, ἀλλ' ἐν τῇ παρακμῇ τοῦ ὅλου νοσήματος. ὅθεν καὶ διηρτῆσθαι x) λέξει τὰ λήμματα τοῦ λόγου, ἑτέρας μὲν παρακμῆς ἐν τῷ προτέρῳ λήμματι λαμβανομένης, τουτέστι τῆς τοῦ ὅλου πάθους, ἑτέρας δὲ ἐν τῷ δευτέρῳ, τουτέστι τῆς μερικῆς. πάλιν τε ἐπί τινος πυρέσσοντος κατὰ πύκνωσιν 239
ἐπιτεταμένην ἐρωτηθέντος τοῦ λόγου τοῦ τοιούτου "τὰ ἐναντία τῶν ἐναντίων ἰάματά ἐστιν· ἐναντίον δὲ τῇ ὑποκειμένῃ πυρώσει τὸ ψυχρόν· κατάλληλον ἄρα τῇ ὑποκειμένῃ πυρώσει τὸ ψυχρόν" ὁ μὲν διαλεκτικὸς ἡσυχάσει, ὁ δὲ ἰατρὸς εἰδὼς τίνα μέν ἐστι 240
προηγουμένως προσεχῆ πάθη y) τίνα δὲ συμπτώματα τούτων, ἐρεῖ μὴ ἐπὶ τῶν συμπτωμάτων προκόπτειν τὸν λόγον — ἀμέλει γοῦν πρὸς τὴν ἐπίχυσιν τοῦ ψυχροῦ πλείονα γίνεσθαι συμβαίνειν τὴν πύρωσιν — ἀλλ' ἐπὶ τῶν προσεχῶν παθῶν. καὶ τὴν μὲν στέγνωσιν εἶναι προσεχῆ, ἥτις οὐ τὴν πύκνωσιν ἀλλὰ τὸν χα-

sio; necesse est igitur ante primos tres dies et variam victus rationem et vinum ut plurimum assumere" dialecticus certe nihil quicquam habuerit, quod ad huius argumenti solutionem alioqui utilem afferat. 238. at medicus solvet hoc sophisma, quippe qui sciat "remissionem morbi" dici bifariam, videlicet et totius morbi et uniuscuiusque intensionis particularis a summo incremento propensionem in melius. atque ante primos quidem tres dies contingere ut plurimum particularis intensionis remissionem videmus; variam autem victus rationem in hac ipsa remissione non probamus, sed in totius morbi declinatione. unde et sumptiones argumenti de rebus plane diversis loqui dicet, quum in priori sumptione una remissio sumatur, ea nimirum quae totius morbi est, in posteriore autem altera, nimirum particularis. 239. itidem vero proposita huiusmodi quaestione de aliquo qui febri ardenti correptus fuerit oborta ex vehementi obstructione, videlicet "contraria contrariorum sunt remedia; frigida autem propositae inflammationi contraria est: consentanea ergo est propositae inflammationi frigida". Dialecticus quidem hic obmutescet, 240. at medicus, quum noverit qui sint morbi primario continentes, et quaenam ipsorum symptomata, respondebit quaestionem hanc de symptomatibus non esse (quum nimirum usu veniat ut affusa frigida ardor augeatur), sed de continentibus morbis; et obstructionem quidem esse ex horum numero, quae non condensationem sed modum aliquem quo la-

---

non πάντως, sed ὡς τὸ πολύ. διάτριτος (scilicet ἡμέρα) est *dies* quaeque *tertia*.

u) διατρίτου] ita reposui e mss pro διατρίτης.

x) διηρτῆσθαι] non cohaerere, quod συναρτήσει sive connexioni opponitur de qua supra sect. 111.

y) προσεχῆ πάθη] ita medici appellant morbos ipsos mali causas primarias assiduasque quas a supervenientibus ac plerumque transitoriis accessionibus et symptomatibus distinguunt, illisque opponunt. Galenus in lexico: προσέχει ἡ νοῦσος, ἀντὶ τοῦ παραμένει. hinc προσεχῆ πάθη malui reddere *continentes* hoc est continenter incommodantes, quam cum HStephano *contiguas*, quod ab hoc loco est alienum.

λαστικὸν τρόπον τῆς ἐπιμελείας z) ἀπαιτεῖ, τὸ δὲ τῆς ἐπακολουθούσης θερμασίας οὐ προηγουμένως προσεχές· ὅθεν μηδὲ τὸ
241 κατάλληλον εἶναι δοκοῦν αὐτῇ. καὶ οὕτως μὲν ἐπὶ τοῖς σοφίσμασι τοῖς χρησίμως a) ἀπαιτοῦσι τὴν διάλυσιν, οὐδὲν ἕξει λέ-
P 122 γειν ὁ διαλεκτικός. ἐρωτήσας δὲ ἡμῖν b) τοιούτους λόγους "εἰ οὐχὶ καὶ καλὰ κέρατα ἔχεις καὶ κέρατα ἔχεις, κέρατα ἔχεις· οὐχὶ δὲ καλὰ κέρατα ἔχεις καὶ κέρατα ἔχεις c), κέρατα ἄρα ἔχεις".

xetur obstructio postulet; at consequentem ardorem in febri non esse morbum primario continentem: unde nec frigidam videri esse illi accommodam. 241. atque ita in sophismatibus quorum solutio, quam poscunt, est utilis, non habebit quod dicat dialecticus: sed proposita nobis hac argumentatione "si non et pulchra cornua habes et cornua habes, cornua habes, pulchra autem cornua non habes et cornua habes, cornua igitur habes" vel hac

---

z) ἐπιμελείας] ita mss pro ἐπιμερείας.

a) χρησίμως] ita recte mss pro χρησίμοις, neque enim sophismata ipsa χρήσιμα sunt, verum utilis eorum solutio.

P 122 b) ἐρωτήσας δὲ ἡμῖν] sic supra sect. 237 ἐρωτηθέντος ἰατρῷ τοιούτου σοφίσματος. etiam 1 Samuel. 22 13 ἐρωτᾶν αὐτῷ.

c) καὶ κέρατα ἔχεις] in editis plura verba exciderant, quae ex mss et interprete restitui, ratione ipsa sophismatis hoc etiam postulante, quod ab cornibus quae argumentum hoc ridiculum audienti vel legenti impingit, vocabatur *ceratine*, sive κερατίς, de quo Menagius ad Laërtium 2 108, 111. recte autem Diogenes Cynicus apud eundem Laërtium 6 38 tricas illiusmodi cavillationis nulla responsione accuratiore dialectica, sed solo sensu sive tactu explosit atque elusit. πρὸς τὸν συλλογισάμενον ὅτι κέρατα ἔχει, ἁψάμενος τοῦ μετώπου, ἐγὼ μέν, ἔφη, οὐχ ὁρῶ. nescio an veteres sophistae hac cavillatione texerint scomma quo maritis adulterarum solent vulgo illudere, atque θαλάμους perstringere κεραϊζομένους, ut Homeri verbo utar ex Iliad. χ 63, satis certe frequens olim et perantiquum, ut constat ex Lucilii epigrammate in κερασφόρον γραμματικόν p. 198 et 200 edit. Wechel. et Artemidoro lib. 2 Onirocritic. c. 12 γυνή σου πορνεύει καὶ τὸ λεγόμενον κέρατά σοι ποιήσει. quibus adde Acheloum (rivalem Herculis) tauri forma, de quo Ovidius:

Cornua flens legit rapidis Achelous in undis
truncaque limosa tempora mersit aqua.

Nicetas Choniates in Andronico Comneno lib. 2 p. 207 τῶν παρ' αὐτοῦ θηρωμένων ἐλάφων τὰ κέρατα ὅσα δωδεκάδωρα ἦν καὶ εἶχόν τι θαύματος, ταῖς κατὰ τὴν ἀγορὰν ἀψῖσιν ἀνῄρτα, διαμωκώμενος τὸ πολίτευμα καὶ διασύρων εἰς ἀκρασίαν τῶν γαμετῶν. idem Alexium Comnenum Exangelum monitum refert lib. 2 p. 315 ne uxorem quam pro adultera repudiasset reciperet ἐκείνοις τῶν ζῴων παραβαλλόμενος τοῖς ἐκκρούουσι μὲν ἐπὶ τῶν κροτάφων τὰ ἀμυντήρια, παροξυνομένοις δὲ οὐδαμῶς οὔτε μὴν τὸ κέρας ὁπλίζουσι κατὰ τῶν ἐπιθορνυμένων ἐν ὄψεσι ταῖς θηλείαις αὐτῶν. Anonymus Bandurianus de originibus Constantinopolitanis, quem Michaëlem Psellum esse haud dubitant eruditi, c. 162 νεώριον τὸ λεγόμενον κερατοεμβόλιον. ἐκεῖσε καμάρα χαλκῆ ἦν, καὶ ἵστατο ἄνωθεν αὐτῆς στήλη ἔχουσα ἐν τῇ κεφαλῇ κέρατα τέσσαρα. θαύματα δὲ ἐγένοντο ἐν αὐτῇ. εἴ τις γὰρ εἶχεν ἐν αὐτῷ ὑπόληψιν εἶναι κερατᾶς, ἐκεῖσε ἐπερχόμενος καὶ προσεγγίζων τῇ στήλῃ εὐθέως ἐγυρίζετο ἕως τρίτου· εἰ δὲ ἐκτὸς ὑπολήψεως ἦν, ἵστατο ἀσάλευτος ἡ στήλη. καὶ οὕτως ἠλέγχοντο οἱ κερατάδες. Aegidius Menagius in Originibus Gallicis p. 220 huc etiam refert epigramma hoc Parmenionis p. 262 edit. Wechel. [9 5 t. 2 p. 320 Iacobs.]

Ὅστις ἔσω πυροὺς καταλαμβάνει οὐκ ἀγοράζων
κείνου Ἀμαλθείας ἡ γυνὴ ἐστι κέρας.

[locus hic Sexti valde corruptus est.]

"εἰ *) κινεῖταί τι[d]), ἤτοι ἐν ᾧ ἐστι τόπῳ κινεῖται, ἢ ἐν ᾧ οὐκ 242
ἔστιν· οὔτε δὲ ἐν ᾧ ἐστι — μένει γάρ — οὔτε δὲ ἐν ᾧ μή ἐστι. — πῶς γὰρ ἂν ἐνεργοίη τι ἐν ἐκείνῳ, ἐν ᾧ μηδὲ τὴν ἀρχὴν ἐστίν; — οὐκ ἄρα κινεῖταί τι". ἤτοι "τὸ ὂν γίνεται[e]), ἢ τὸ μὴ ὄν. τὸ 243
μὲν οὖν ὂν οὐ γίνεται — ἐστὶ γάρ — ἀλλ' οὐδὲ τὸ μὴ ὄν. τὸ μὲν γὰρ γινόμενον πάσχει τι, τὸ δὲ μὴ ὂν οὐ πάσχει· οὐδὲν ἄρα γίνεται". "ἡ χιὼν **) ὕδωρ ἐστὶ πεπηγός[f])· μέλαν δὲ τὸ ὕδωρ 244
ἐστί· μέλαινα ἄρα ἐστὶν ἡ χιών" καὶ τοιούτους τινὰς ἀθροίσας ὕθλους[g]) συνάγει τὰς ὀφρῦς καὶ προχειρίζεται τὴν διαλεκτικὴν καὶ πάνυ σεμνῶς ἐπιχειρεῖ κατασκευάζειν ἡμῖν δι' ἀποδείξεων συλλογιστικῶν, ὅτι γίνεταί τι καὶ ὅτι κινεῖταί τι καὶ ὅτι ἡ χιών ἐστι λευκὴ καὶ ὅτι κέρατα οὐκ ἔχομεν, καίτοι γε ἀρκοῦντος ἴσως τοῦ τὴν ἐνέργειαν αὐτοῖς ἀντιτιθέναι πρὸς τὸ θραύεσθαι τὴν διαβεβαιωτικὴν θέσιν αὐτῶν, διὰ τῆς ἐκ τῶν διαφαινομένων ἰσοσθενοῦς αὐτῶν ἀντιμαρτυρήσεως. ταῦτά τοι καὶ ἐρωτηθεὶς φιλόσοφος[h]) τὸν κατὰ τῆς κινήσεως λόγον σιωπῶν περιεπάτησεν. καὶ οἱ κατὰ τὸν βίον ἄνθρωποι πεζάς τε καὶ διαποντίους στέλλονται πορείας κατασκευάζουσί τε ναῦς καὶ οἰκίας καὶ παι-

242. "si quid movetur, aut in loco in quo est movetur aut in quo non est, atqui nec in quo est, maneret enim, nec in quo non est; quomodo enim aliquid agat in illo in quo omnino non est? non ergo movetur quicquam" vel hac 243. "aut quod est, fit, aut quod non est, at vero quod est, non fit, est enim, sed neque id quod non est; nam quod fit, aliquid patitur, quod autem non est, non patitur, nihil ergo fit" vel hac 244. "nix aqua est concreta, nigra autem est aqua, nigra ergo est nix" atque huiusmodi quasdam nugas accumulans, contrahit supercilia et dialecticam obtendit magnoque cum fastu nititur astruere nobis per demonstrationes syllogisticas, fieri aliquid et moveri aliquid et nivem esse albam et nos cornua non habere, quum alioqui satis esset evidentiam rei illis opponere ad ea, quae ita asseveranter ab illis ponuntur infringenda, contrario ex rebus evidentibus testimonio, illis haud minorem vim utique habente. ideoque quum proposita esset philosopho oratio motum negans, tacitus ambulare coepit. et in vita communi homines terras et maria permeant fabricantque naves et

[*) ἢ "εἰ?"]

d) εἰ κινεῖταί τι] Zenonis Eleatae hoc argumentum, quod una cum aliis eius quibus motum dari negabat cavillationibus refellit Diogenes Cynicus surgendo et ambulando, ut praeter alios narrat Simplicius ad 6 Physicorum Aristotelis p. 136 b et noster infra sect. 214 et lib. 3 cap. 8. etiam Diodorus Cronus eadem cavillatione adversus motum usus, ut colligas ex iis quae mox sect. 245 narrantur, et diserte traditur lib. adversus Grammaticos p. 286.

e) ἤτοι τὸ ὂν γίνεται] eiusdem Zenonis sophisma, quo negabat quicquam generari, sed quicquid sit esse aeternum. de qua eius opinione vide si placet Aristotelis librum de dogmatibus Zenonis Xenophanis et Gorgiae, primum enim caput Zenonem alterum spectat Xenophanem, licet in editionibus contra est.

[**) ἢ "ἡ χ.?"]

f) ἡ χιὼν ὕδωρ ἐστὶ πεπηγὸς] Anaxagorae haec cavillatio, de qua dictum ad lib. 1 sect. 33.

g) τοιούτους τινὰς ἀθροίσας ὕθλους] vanitatem studii quod nodis eiuscemodi nectendis dissolvendisque impenditur satis agnoverunt ex Stoicis ipsis quibus cor sapiebat, Marcus Antoninus Arrianus Seneca, quem postremum si placet vide epist. 45 et 82.

h) φιλόσοφος] Diogenes Cynicus, Laërt. 7 39.

δοποιοῦνται, τῶν κατὰ τῆς κινήσεως καὶ γενέσεως ἀμελοῦντες λό-
245 γων. φέρεται δὲ καὶ Ἡροφίλου τοῦ ἰατροῦ i) χάριεν ἀπομνημό-
P 123 νευμα (συνεχρόνισε γὰρ οὗτος Διοδώρῳ k), ὃς ἐν ἀπειροκάλῳ τῇ
διαλεκτικῇ l) λόγους διεξῄει σοφιστικοὺς κατά τε ἄλλων πολλῶν
καὶ τῆς κινήσεως) ὡς οὖν ἐκβαλὼν ποτε ὦμον ὁ Διόδωρος ἧκε
θεραπευθησόμενος ὡς Ἡρόφιλον, ἐχαριεντίσατο ἐκεῖνος πρὸς αὐ-
τὸν λέγων "ἤτοι ἐν ᾧ ἦν τόπῳ ὁ ὦμος ὢν ἐκπέπτωκεν, ἢ ἐν ᾧ
οὐκ ἦν· οὔτε δὲ ἐν ᾧ ἦν οὔτε ἐν ᾧ οὐκ ἦν· οὐκ ἄρα ἐκπέ-
πτωκεν" ὡς τὸν σοφιστὴν λιπαρεῖν ἐᾶν μὲν τοὺς τοιούτους λό-
γους, τὴν δὲ ἐξ ἰατρικῆς ἁρμόζουσαν αὐτῷ προσάγειν θεραπείαν·
246 ἀρκεῖ γὰρ οἶμαι τὸ ἐμπείρως τε καὶ ἀδοξάστως κατὰ τὰς κοι-
νὰς τηρήσεις τε καὶ προλήψεις βιοῦν, περὶ τῶν ἐκ δογματικῆς
περιεργίας καὶ μάλιστα ἔξω τῆς βιωτικῆς χρείας λεγομένων ἐπ-
έχοντας. εἰ οὖν ὅσα μὲν εὐχρήστως ἂν ἐπιλυθείη, ταῦτα οὐκ ἂν
διαλύσαιτο ἡ διαλεκτική, ὅσα δὲ ἐπιλύεσθαι δοίη τις ἂν ἴσως
ὑπ' αὐτῆς σοφίσματα, τούτων ἡ διάλυσις ἄχρηστός ἐστιν, ἄχρη-
247 στός ἐστι κατὰ τὴν ἐπίλυσιν τῶν σοφισμάτων ἡ διαλεκτική. καὶ

domos et procreant liberos, de cavillationibus quae sunt adversus motum et generationem nihil soliciti. 245. fertur etiam Herophili medici festivum apophthegma (vixit enim hic tempore Diodori, qui in inepta dialectica sua argumentationes sophisticas exposuit, cum adversus alia multa tum vero adversus motum), quum enim luxato aliquando humero venisset ad Herophilum Diodorus ut curaretur, facete eum irrisit dicens "aut in quo erat loco humerus existens excidit, aut in quo non erat; at neque in quo erat, nec in quo non erat, non ergo excidit"; adeo ut precaretur sophista eum, ut omissis iis cavillationibus adhiberet ei congruens ex arte medica remedium. 246. sufficit itaque ut arbitror cum experientia usu parta et ita ut dogma nullum statuamus secundum communes observationes et praeoccupatas in animis hominum opiniones vitam degere, de iis vero quae ex dogmatica curiositate dicuntur et nullam quidem vitae communi utilitatem afferunt, assensum retinere. si ergo quaecumque sophismata soluta fructum afferrent, ea solvere non possit Dialectica, at quaecumque ab ea posse solvi concedat aliquis, horum inutilis est solutio, inutilis est in solvendis sophismatis

---

P 123 i) Ἡροφίλου τοῦ ἰατροῦ] Herophilus Praxagorae Coi discipulus, medicus et anatomicus celeberrimus, nec minus Dialectices peritus, unde Dialecticus vocatur a Galeno t. 4 p. 364 edit. Graecae Basil.

k) συνεχρόνισε γὰρ οὗτος Διοδώρῳ] Diodorus Cronus Dialecticus attigit tempora Aristotelis Stilponis Cynicorumque Cratetis et Diogenis et Stoicorum principis Zenonis Citiei, clarus circa olympiadem 110, unde constat etiam de Herophili aetate. de utroque Herophilo ac Diodoro dixi in Bibliotheca Graeca. fallitur autem praeclarus Vossius, qui Mich. Neandrum secutus Herophilum longe antiquiorem facit et ad Phalaridis aetatem removet, libro de Philosophia, cap. 11 §. 11. Vossii errorem secutus Harduinus ad Plinium t. 1 p. 115.

l) ἐν ἀπειροκάλῳ τῇ διαλεκτικῇ] in Diodori Croni Dialectica, quam ob tricas subtiles nugasque *ἀπειρόκαλον* minimeque bellam et elegantem Sextus appellat, haec eius cavillatio exstabat, qua infitiabatur ille quicquam moveri: *quicquid movetur aut movetur in loco quo est, aut in quo non est; at neque in eo in quo est, manet enim, neque in eo in quo non est; in quo enim non est in illo non potest moveri: nihil itaque movetur.* vide supra sect. 242 et lib. contra Grammaticos sect. 311 et lib. 2 adversus Log. sect. 333. lepide itaque prorsus Herophilus simili sophismate Diodorum delusit luxato humero et de sede sua moto medelam quaerentem.

ἀπ' αὐτῶν δὲ τῶν παρὰ τοῖς Διαλεκτικοῖς λεγομένων ὁρμώμενός
τις οὕτως ἂν συντόμως ὑπομνήσειε περιττὰ εἶναι τὰ περὶ τῶν
σοφισμάτων παρ' αὐτοῖς δὴ τεχνολογούμενα. ἐπὶ τὴν τέχνην τὴν
Διαλεκτικήν φασιν ὡρμηκέναι οἱ Διαλεκτικοί, οὐχ ἁπλῶς ὑπὲρ
τοῦ γνῶναι τί ἐκ τίνος συνάγεται, ἀλλὰ προηγουμένως ὑπὲρ τοῦ
δι' ἀποδεικτικῶν λόγων τὰ ἀληθῆ καὶ τὰ ψευδῆ κρίνειν ἐπίστα-
σθαι· λέγουσιν οὖν εἶναι τὴν Διαλεκτικὴν ἐπιστήμην ἀληθῶν
καὶ ψευδῶν καὶ οὐδετέρων [m]). ἐπεὶ τοίνυν αὐτοί φασιν ἀληθῆ 248
λόγον εἶναι τὸν δι' ἀληθῶν λημμάτων ἀληθὲς συνάγοντα συμ-
πέρασμα, ἅμα τῷ ἐρωτηθῆναι λόγον ψεῦδος ἔχοντα τὸ συμπέ-
ρασμα, εἰσόμεθα ὅτι ψευδής ἐστιν [n]) καὶ οὐ συγκαταθησόμεθα
αὐτῷ· ἀνάγκη γὰρ καὶ αὐτὸν τὸν λόγον ἤτοι μὴ εἶναι συνακτι-
κόν, ἢ μηδὲ τὰ λήμματα ἔχειν ἀληθῆ. καὶ τοῦτο δῆλον ἐκ τῶνδε· 249
ἤτοι ἀκολουθεῖ τὸ ἐν τῷ λόγῳ ψευδὲς συμπέρασμα τῇ διὰ τῶν
λημμάτων αὐτοῦ συμπλοκῇ ἢ οὐκ ἀκολουθεῖ. ἀλλ' εἰ μὲν οὐκ
ἀκολουθεῖ, οὐδὲ συνακτικὸς λόγος ἔσται· λέγουσι γὰρ [o]) συνακτι- P 124
κὸν γίνεσθαι λόγον ὅταν ἀκολουθῇ τῇ διὰ τῶν λημμάτων αὐτοῦ
συμπλοκῇ τὸ ἐν αὐτῷ συμπέρασμα. εἰ δὲ ἀκολουθεῖ, ἀνάγκη καὶ
τὴν διὰ τῶν λημμάτων συμπλοκὴν εἶναι ψευδῆ κατὰ τὰς αὐτῶν
ἐκείνων τεχνολογίας. φασὶ γὰρ ὅτι τὸ ψεῦδος ψευδεῖ μὲν ἀκο-
λουθεῖ, ἀληθεῖ δὲ οὐδαμῶς. ὅτι δὲ ὁ μὴ συνακτικὸς ἢ μὴ ἀλη- 250
θὴς λόγος κατὰ αὐτοὺς οὐδὲ ἀποδεικτικός ἐστιν δῆλον ἐκ τῶν
ἔμπροσθεν εἰρημένων [p]). εἰ τοίνυν ἐρωτηθέντος λόγου, ἐν ᾧ ψεῦ-
δός ἐστι τὸ συμπέρασμα, αὐτόθεν γινώσκομεν ὅτι οὐκ ἔστιν ἀλη-

Dialectica. 247. quin etiam si quis iis quae Dialectici dicunt instructus prodeat, ita paucis docere possit artem, quae ab illis de sophismatibus traditur, esse supervacaneam. contulerunt se Dialectici, ut inquiunt, ad Dialecticam, non tantum ut discerent quid ex quo colligatur, sed hoc inprimis propositum sibi habentes, ut per demonstrativas orationes vera et falsa diiudicare scirent, unde dicunt Dialecticam esse verorum et falsorum et neutrorum scientiam. 248. quum igitur ipsi veram esse argumentationem dicant quae per veras sumptiones veram conclusionem colligat, simul atque nobis obiectum fuerit argumentum quod falsam habeat conclusionem, sciemus falsum illud esse, ideoque ei non assentiemur; necesse est enim ipsum etiam argumentum aut colligendi vim non habere, aut ne sumptiones quidem habere veras. quod ex his perspicuum est: 249. aut falsa conclusio in argumento consequitur sumptionum illius connexionem, aut non consequitur. sed si quidem non consequitur, ne colligendi quidem vim habebit argumentum; dicunt enim hoc vi illa pollere, in quo conclusio sequitur connexionem sumptionum. sin autem consequitur, necesse est etiam connexionem sumptionum eius esse falsam secundum ipsorum artis praecepta. aiunt enim ex falso quidem consequi falsum, ex vero autem nequaquam. 250. quod autem oratio quae neque colligendi vim habet neque vera est, secundum eos ne demonstrabilis quidem sit, ex supra dictis perspicuum est. si ergo proposito argumento in quo falsa sit conclusio, ex hoc ipso non esse verum nec col-

---

m) ἐπιστήμην ἀληθῶν καὶ ψευδῶν καὶ οὐδετέρων] supra sect. 94 et adversus Ethicos. οὐδετέρων pro οὐθ' ἑτέρων reposui iubentibus etiam mss.

n) εἰσόμεθα ὅτι ψευδής ἐστιν] similiter eludentem sophismata Diogenem Cynicum vide si placet in AGellii noctibus Atticis 18 13.

o) λέγουσι γὰρ] supra sect. 137. P 124

p) ἐκ τῶν ἔμπροσθεν εἰρημένων] sect. 139 seq.

θῆς οὐδὲ συνακτικὸς ὁ λόγος, ἐκ τοῦ συμπέρασμα ἔχειν ψευδές, οὐ συγκαταθησόμεθα αὐτῷ, κἂν μὴ γινώσκωμεν παρὰ τί τὸ ἀπατηλὸν ἔχει. ὥσπερ γὰρ οὐδ' ὅτι ἀληθῆ ἐστι τὰ ὑπὸ τῶν ψηφοπαικτῶν q) γινόμενα συγκατατιθέμεθα, ἀλλ' ἴσμεν ὅτι ἀπατῶσι κἂν μὴ γινώσκωμεν ὅπως ἀπατῶσιν, οὕτως οὐδὲ τοῖς ψευδέσι μὲν πιθανοῖς δὲ εἶναι δοκοῦσι λόγοις πειθόμεθα κἂν μὴ
251 γινώσκωμεν ὅπως παραλογίζονται r). ἢ ἐπεὶ οὐ μόνον ἐπὶ ψεῦδος ἀπάγειν s) τοῖς σοφίσμασιν, ἀλλὰ καὶ ἐπὶ ἄλλας ἀτοπίας, κρινότερον οὕτω συνερωτητέον "ὁ ἐρωτώμενος λόγος ἤτοι ἐπί τι ἀπρόσδεκτον ἡμᾶς ἄγει ἢ ἐπί τι τοιοῦτον, ὡς χρῆναι αὐτὸ προσδέχεσθαι. ἀλλ' εἰ μὲν ἐπὶ τὸ δεύτερον t)), οὐκ ἀτόπως αὐτῷ συγκαταθησόμεθα· εἰ δὲ ἐπί τι ἀπρόσδεκτον, οὐχ ἡμᾶς τῇ ἀτοπίᾳ δεήσει συγκατατίθεσθαι προπετῶς διὰ τὴν πιθανότητα, ἀλλ' ἐκείνους ἀφίστασθαι τοῦ λόγου τοῦ τοῖς ἀτόποις ἀναγκάζοντος συγκατατίθεσθαι, εἴ γε μὴ ληρεῖν παιδαριωδῶς ἀλλὰ τἀληθῆ ζητεῖν,

ligendi vim habere cognoscimus, ex eo quod conclusionem habeat falsam, non assentiemur ei, etiamsi unde habeat fallaciam non agnoscamus. quemadmodum enim ne ea quidem quae a praestigiatoribus fiunt vera esse assentimur, sed scimus eos fallere, etiamsi non cognoscamus quomodo fallant, ita nec argumentis falsis quidem, sed quae tamen verisimilia esse videntur, fidem habemus, etiamsi non cognoscamus quomodo captiosa sint. 251. aut quoniam non tantum inest hoc sophismatis ut ad falsum abducant, sed ut ad alias etiam demittant absurditates, ita generalius est adversus ea argumentandum: argumentum quod proponitur aut ad aliquid non admittendum nos adducit, aut ad aliquid tale ut admittere illud oporteat; si ad secundum, non absurdum nos ei assentiri fuerit, sin ad aliquid quod non sit admittendum, nos non absurditati assentiri temere propter verisimilitudinem, sed illos abscedere ab argumento, quod absurdis assentiri cogit, oportebit, si

---

q) ψηφοπαικτῶν] horum mentio etiam libro contra Rhetoras 39 *καθάπερ γὰρ οἱ ψηφοπαῖκται τὰς τῶν θεωμένων ὄψεις δι' ὀξυχειρίαν κλέπτουσιν.* Athenaeus ψηφοκλέπτας appellat, Suidas ψηφολόγους. recentiori aetate praestigiator eiusmodi dictus ψηφᾶς apud Graecos, Latinis *calculator.* vide Cangii glossaria et Casaubonum ad Athenaeum lib. 1 cap. 15 et lib. 4 c. 1. non alii sunt de quibus Quintilianus 10 Institut. Orator. c. 7 *constant miracula illa in scenis pilariorum ac ventilatorum.* videnturque dicti *pilarii* ut *calculatores* quod *pilas* vel *calculos* quos ψήφους Graeci appellant possent sollerti celeritate oculis spectantium subducere, atque ut est apud Themistium in 3 Physic. p. 36 *τὰ φῶρια μετασχηματίζειν.* Seneca Epist. 45 sophismata Dialecticorum et ipse conferens cum ludicra arte ψηφοπαικτῶν *sic ista* inquit *sine noxa decipiunt, quomodo praestigiatorum acetabula et calculi, in quibus me fallacia ipsa delectat.* pilariorum vocabulum occurrit etiam in veteri inscriptione apud Raphaëlem Fabrettum p. 250. *saccularios* alii appellant a sacculis in quibus calculos illos vel pilas habent, vide Gisb. Voëtium in volumine tertio Dispp. selectarum p. 542 seq. Thomam Campanellam libro de sensu rerum p. 278 seq. et Casaubonum ad Theophrasti characteres p. 204 et in Casaubonianis p. 52, ubi varia genera θαυματοποιῶν perstringit.

r) παραλογίζονται] ita mss pro παραλογίζωνται, et paullo ante, τοῖς ψευδέσι, μὴ πιθανοῖς δέ, pro τοῖς ψευδέσι μέν, πιθανοῖς δέ.

s) ἀπάγειν] deesse videtur verbum, quod in nullo codice cum repererim, nolui ex ingenio supplere, licet in promtu fuerit ex HStephani versione scribere ἀπάγειν ἔνεστιν, vel εἰώθασι, vel etiam ἀπάγουσιν legere pro ἀπάγειν quod prae caeteris placet.

t) ἐπὶ τὸ δεύτερον] in mss deest ἐπί, et salvo sensu potest abesse.

ὡς ὑπισχνοῦνται, προῄρηνται. ὥσπερ γὰρ εἰ ὁδὸς εἴη ἐπί τινα 252
κρημνὸν φέρουσα, οὐκ ὠθοῦμεν αὐτοὺς εἰς τὸν κρημνόν, διὰ τὸ ὁδόν τινα εἶναι φέρουσαν ἐπ' αὐτόν, ἀλλ' ἀφιστάμεθα τῆς ὁδοῦ διὰ τὸν κρημνόν, οὕτω καὶ εἰ ὁ λόγος εἴη ἐπί τι ὁμολογουμένως ἄτοπον ἡμᾶς ἀπάγων, οὐχὶ τῷ ἀτόπῳ συγκαταθησόμεθα
διὰ τὸν λόγον, ἀλλ' ἀποστησόμεθα τοῦ λόγου διὰ τὴν ἀτοπίαν. P 125
ὅταν οὖν οὕτως ἡμῖν συνερωτᾶται λόγος, καθ' ἑκάστην πρό- 253
τασιν ἐφέξομεν, εἶτα τοῦ ὅλου συνερωτηθέντος λόγου τὰ δοκοῦντα ἐπάξομεν. καὶ εἴ γε οἱ περὶ τὸν Χρύσιππον Δογματικοὶ[u]) ἐν τῇ συνερωτήσει τοῦ σωρείτου[x]) προϊόντος τοῦ λόγου φασὶ δεῖν ἵστασθαι[y]) καὶ ἐπέχειν, ἵνα μὴ ἐκπέσωσιν εἰς ἀτοπίαν, πολὺ δήπου μᾶλλον ἂν ἡμῖν ἁρμόζον εἴη Σκεπτικοῖς οὖσιν ὑποπτεύουσιν ἀτοπίαν[z]) μὴ προσπίπτειν κατὰ τὰς συνερωτήσεις τῶν λημμάτων, ἀλλ' ἐπέχειν καθ' ἕκαστον, ἕως τῆς ὅλης συνερω-
τήσεως τοῦ λόγου. καὶ ἡμεῖς μὲν ἀδοξάστως ἀπὸ τῆς βιωτικῆς 254
τηρήσεως ὁρμώμενοι τοὺς ἀπατηλοὺς οὕτως ἐκκλίνομεν λόγους,

modo non nugari pueriliter sed vera inquirere, ut pollicentur, instituerunt. 252. quemadmodum enim si via sit quae ad aliquod praecipitium ducat, non protrudimus nos in illud praecipitium, eo quod via sit aliqua quae ducit ad ipsum, sed a via illa recedimus propter praecipitium, eodem modo si argumentum sit aliquod quod nos abducat ad aliquid quod absurdum esse constet, non assentiemur absurdo propter illud argumentum, sed illud propter absurditatem omittemus. 253. quum igitur ita nobis obiicietur argumentum, ad unamquamque propositionem assensum retinebimus, deinde toto argumento prolato ea, quae visa nobis fuerint, obiiciemus. nam si Chrysippei Dogmatici proposito sorite aiunt progrediente oratione esse subsistendum et assensum retinendum, ne in absurditatem incidant, nos certe, qui scepticam sectam profitemur et absurditatem suspicamur, multo magis deceat cavere ne impingamus per rogationes sumptionum, ac potius in unaquaque assensum retinere usque ad totius argumenti propositionem. 254. et nos quidem citra ullum dogma iis quae in vita communi observavimus prodeuntes instructi, fallacias sophismatum ita

---

u) οἱ περὶ τὸν Χρύσιππον Δογματικοὶ] vide Casaubonum ad illud P 125
Persii sat. 6 vers. ult.

inventus Chrysippe tui finitor acervi.

x) συνερωτήσει τοῦ σωρείτου] cum duplex esset sorites sophisticus Chrysippi *struens ruensque;* in utroque per continuas interrogationes id agebatur, ut in absurditatem paullatim incideret qui in respondendo sibi non caveret. hinc *captiosissimum genus interrogationis* vocat Cicero in Lucullo c. 16, *quod genus minime in philosophia probari solet, cum aliquid minutatim et gradatim additur aut demitur. soritas hos vocant, qui acervum efficiunt uno addito grano.* ab acervo tritici nomen esse huic soriti docet idem cap. 29, quod interrogaret nempe, utrum acervus adhuc sit, si unum granum dematur, atque iterum unum et ita porro, donec nihil reliquum maneat, atque vicissim quandonam fiat acervus, num ad granum apposito uno grano, an duobus tribus quattuor. confer lib. 1 adversus Logicos sect. 416 seq. et Simplicium in 8 Physicorum p. 271.

y) φασὶ δεῖν ἵστασθαι] idem Cicero capite laudato 29 *placet Chrysippo, cum gradatim interrogetur verbi causa, tria pauca sint anne multa, aliquanto prius quam ad multa perveniat quiescere, id est quod ab iis dicitur ἡσυχάζειν.* hunc λόγον ἡσυχάζοντα singulari libro exposuit Chrysippus quemadmodum de sorite sive περὶ τοῦ παρὰ μικρὸν λόγου pluribus tractaverat libris. vide Menagium ad Laërtii 7 197.

z) ἀτοπίαν] ita recte mss pro ἀτοπίας.

οἱ Δογματικοὶ δὲ ἀδυνάτως ἕξουσι διακρῖναι τὸ σόφισμα ἀπὸ τοῦ δεόντως δοκοῦντος ἐρωτᾶσθαι λόγου, εἴ γε χρὴ δογματικῶς αὐτοὺς ἐπικρῖναι καὶ ὅτι συνακτικόν ἐστι τὸ σχῆμα τοῦ λόγου
255 καὶ ὅτι τὰ λήμματά ἐστιν ἀληθῆ, ἢ οὐχ οὕτως ἔχει. ὑπεμνήσαμεν γὰρ ἔμπροσθεν ὅτι οὔτε τοὺς συνακτικοὺς λόγους[a]) δύνανται καταλαμβάνειν οὔτε ἀληθές[b]) εἶναί τι κρίνειν οἷοί τέ εἰσι, μήτε κριτήριον[c]) μήτε ἀπόδειξιν[d]) ὁμολογουμένως ἔχοντες, ὡς ἐκ τῶν λεγομένων ὑπ' αὐτῶν ἐκείνων ὑπεμνήσαμεν. παρέλκει οὖν ὅσον ἐπὶ τούτοις ἡ θρυλουμένη παρὰ τοῖς Διαλεκτικοῖς περὶ τῶν σοφισμάτων τεχνολογία.

ΚΕΦ. κγ'.

Περὶ ἀμφιβολιῶν.

256 Παραπλήσια δὲ καὶ ἐπὶ τῆς διαστολῆς τῶν ἀμφιβολιῶν λέγομεν. εἰ γὰρ ἡ ἀμφιβολία[e]) λέξις ἐστὶ δύο καὶ πλείω σημαίνουσα, καὶ αἱ λέξεις σημαίνουσι θέσει[f]), ὅσας μὲν χρήσιμόν ἐστιν ἀμφιβολίας διαλύεσθαι, τοῦτ' ἔστι τὰς ἔν τινι τῶν ἐμπειριῶν[g]), ταύτας οἱ καθ' ἑκάστην τέχνην ἐγγεγυμνασμένοι διαλύσονται τὴν ἐμπειρίαν ἔχοντες αὐτοὶ τῆς ὑπ' αὐτῶν πεποιημέ-
P 126 νης θετικῆς χρήσεως τῶν ὀνομάτων κατὰ τῶν σημαινομένων, ὁ
257 δὲ διαλεκτικὸς οὐδαμῶς, οἷον ὡς ἐπὶ ταύτης τῆς ἀμφιβολίας "ἐν ταῖς παρακμαῖς[h]) τὴν ποικίλην δίαιταν καὶ τὸν οἶνον δοκι-

vitamus. at vero Dogmatici nequaquam poterunt sophisma diiudicare ab argumento quod recte se habere videtur, si quidem illi dogmatice diiudicare cogantur an colligendi vim habens sit argumenti forma et sumptiones sint verae, an neutrum horum. 255. docuimus enim antea neque posse ab illis argumentorum vim colligendi habentium rationes comprehendi, neque verum ulla in re diiudicari, quippe qui nec diiudicatorium nec demonstrationem, de quibus constet, habeant, ut ex eorum ipsorum verbis ostendimus. supervacaneae igitur sunt, si haec spectes, illae de sophismatis artificiosae formulae, quas tantopere celebrant Dialectici.

CAP. XXIII.

De ambiguitatibus.

256. Similia his etiam de distinguendis amphiboliis dicimus. si enim ambiguitas est vocabulum duo aut plura significans et vocabula positione significant, illas quidem ambiguitates quascumque est distinguere operae pretium, nimirum quae in aliqua experientia consistunt, qui in unaquaque arte sunt exercitati distinguent, quum experientiam habeant ipsi usus positivi vocabulorum quem rebus quae significantur, fecerunt, at dialecticus minime; 257. ut in hac ambiguitate "in morborum remissionibus varia victus ratio repudianda non est". quin etiam in vita communi vel ipsos pueros di-

---

a) οὔτε τοὺς συνακτικοὺς λόγους] sect. 145 seq. huius libri.
b) οὔτε ἀληθὲς] sect. 80 seq.
c) μήτε κριτήριον] sect. 18 seq.
d) μήτε ἀπόδειξιν] sect. 144 seq.
e) ἡ ἀμφιβολία] Laërtius 7 62 in Zenone: ἀμφιβολία ἐστὶ λέξις δύο ἢ καὶ πλείονα πράγματα σημαίνουσα λεκτικῶς καὶ κυρίως καὶ κατὰ τὸ αὐτὸ ἔθνος.
f) αἱ λέξεις σημαίνουσι θέσει] supra sect. 214.
g) ἔν τινι τῶν ἐμπειριῶν] infra sect. 258 ἔν τινι τῶν βιωτικῶν ἐμπειριῶν.
P 126 h) ἐν ταῖς παρακμαῖς] sect. 237.

μαστέον". ἤδη δὲ καὶ κατὰ τὸν βίον ἄχρι καὶ τοὺς παῖδας ὁρῶ-
μεν διαστελλομένους ἀμφιβολίας, ὧν ἡ διαστολὴ χρησιμεύειν αὐ-
τοῖς δοκεῖ. εἰ γοῦν τις ὁμωνύμους οἰκέτας ἔχων κελεύοι παιδίον
κληθῆναι αὐτῷ τὸν Μάνην[i]), εἰ τύχοι (τοῦτο γὰρ τοὔνομα τοῖς
οἰκέταις ἔστω κοινὸν), πεύσεται ὁ παῖς "ποῖον"; καὶ εἰ πλείονας
καὶ διαφόρους τις οἴνους ἔχων λέγει τῷ παιδίῳ "ἔγχεόν μοι[k])
τοῦ οἴνου πιεῖν" ὁμοίως ὁ παῖς πεύσεται "ποῖον"; οὕτως ἡ ἐν 258
ἑκάστοις ἐμπειρία τοῦ χρησίμου τὴν διαστολὴν εἰσάγει. ὅσαι μέν-
τοι μὴ ἔν τινι τῶν βιωτικῶν ἐμπειριῶν εἰσιν ἀμφιβολίαι, ἀλλ'
ἐν δογματικαῖς οἰήσεσι κεῖνται καὶ εἰσιν ἴσως ἄχρηστοι πρὸς τὸ
ἀδοξάστως βιοῦν, περὶ ταύτας ἰδίως ὁ Διαλεκτικὸς ἔχων ἀνα-
γκασθήσεται καὶ ἐν αὐταῖς ὁμοίως ἐπέχειν κατὰ τὰς σκεπτικὰς
ἐφόδους, καθ' ὃ πράγμασιν ἀδήλοις καὶ ἀκαταλήπτοις, ἢ καὶ
ἀνυποστάτοις ἴσως, εἰσὶ συνεζευγμέναι. ἀλλὰ περὶ μὲν τούτων καὶ 259
εἰσαῦθις[l]) διαλεξόμεθα. εἰ δέ τις Δογματικὸς πρός τι τούτων
ἀντιλέγειν ἐπιχειροίη, κρατύνει τὸν σκεπτικὸν λόγον, ἐκ τῆς ἑκα-
τέρωθεν ἐπιχειρήσεως καὶ τῆς ἀνεπικρίτου διαφωνίας τὴν περὶ
τῶν ζητουμένων ἐποχὴν καὶ αὐτὸς βεβαιῶν. τοσαῦτα καὶ περὶ
ἀμφιβολιῶν εἰπόντες αὐτοῦ που περιγράφομεν τὸ δεύτερον τῶν
ὑποτυπώσεων σύνταγμα.

stinguere ambiguitates videmus, quarum distinctio ipsis utilis esse videtur. si quis enim habens duos eodem nomine servos et puero imperet ad se accersi Manen (hoc enim utrique ministro fingamus nomen esse commune), interrogabit puer "utrum"? et si plura ac diversa quis habens vina dicat puero, "funde mihi vinum ut bibam" itidem rogabit puer "ex quo"? 258. ita quae est in singulis rei utilis experientia distinctionem inducit. at quaecumque ambiguitates in aliqua ad vitam communem pertinente experientia non sunt, sed in Dogmaticorum sententiis versantur suntque fortasse inutiles ad vivendum sic ut nullam opinionem statuamus, circa has Dialecticus quidem peculiariter sentiens cogetur etiam in ipsis similiter assensum retinere secundum scepticas methodos, quatenus rebus obscuris et incomprehensibilibus aut etiam non subsistentibus fortasse sunt annexae. 259. sed de his quidem iterum disputabimus. quod si quis Dogmaticus horum quidpiam refutare conetur, scepticum propositum corroborat, quippe qui ex mutuo refutandi conatu et discordia indiiudicabili ipse etiam assensus retentionem de iis quae in quaestione versantur confirmet. atque post haec de ambiguitatibus etiam dicta hic secundo Institutionum libro finem imponimus.

i) *τὸν Μάνην*] Manes nomen servile, ut notarunt viri docti Io. Brodaeus ad Anthologiam Epigrammatum p. 341 edit. Wechel. Menagius ad Laërtii 6 55, Lud Kusterus ad Suidam in *Μάνης*, et Hadr. Relandus parte 2 Miscellan. p. 193 seq. *Μανία* servae nomen apud Athenaeum. si Photium lib 1 operis inediti adversus Manichaeos audimus, nomen *Μάνης* Persica lingua sonat τὸν οἷον ὁμιλητικὸν καὶ πρὸς διάλεξιν δραστήριον. Cyrillus Hierosol. quoque exponit ὁμιλητήν, verum Epiphanius 66 1. Babylonica lingua σκεῦος significare ait, de quo consule si lubet Thomam Hydeum operis praeclari de veteri religione Persarum capite 22.

k) ἔγχεον] ita mss pro ἔγχεε.

l) καὶ εἰσαῦθις] ad commentarios Scepticos opinor lectorem remittit qui interciderunt.

P 127 Τάδε ἔνεστιν ἐν τῷ τρίτῳ τῶν Πυῤῥωνείων ὑποτυπώσεων·

ΚΕΦ. α΄. περὶ τοῦ φυσικοῦ μέρους [a]). περὶ θεοῦ.
- β΄. περὶ ἀρχῶν δραστικῶν. περὶ αἰτίου.
- γ΄. εἰ ἔστι τί τινος αἴτιον.
- δ΄. περὶ ἀρχῶν ὑλικῶν.
- ε΄. εἰ κατάληπτα τὰ σώματα.
- ς΄. περὶ κράσεως.
- ζ΄. περὶ κινήσεως.
- η΄. περὶ τῆς μεταβατικῆς κινήσεως.
- θ΄. περὶ αὐξήσεως καὶ μειώσεως.
- ι΄. περὶ ἀφαιρέσεως καὶ προσθέσεως.
- ια΄. περὶ μεταθέσεως.
- ιβ΄. περὶ ὅλου καὶ μέρους.
- ιγ΄. περὶ φυσικῆς μεταβολῆς.
- ιδ΄. περὶ γενέσεως καὶ φθορᾶς.
- ιε΄. περὶ μονῆς.
- ις΄. περὶ τόπου.

Haec insunt in libro tertio Pyrrhoniarum Institutionum:

Cap. I. *de parte naturali philosophiae. de deo.*
- II. *de principiis efficientibus. de causa.*
- III. *an sit aliquid alicuius causa.*
- IV. *de materialibus principiis.*
- V. *an comprehensibilia sint corpora.*
- VI. *de mixtione.*
- VII. *de motu.*
- VIII. *de transitorio motu.*
- IX. *de augmento et imminutione.*
- X. *de ablatione et additione.*
- XI. *de transpositione.*
- XII. *de toto et parte.*
- XIII. *de naturali mutatione.*
- XIV. *de generatione et corruptione.*
- XV. *de mansione sive quiete corporum.*
- XVI. *de loco.*

P 127 a) περὶ τοῦ φυσικοῦ μέρους] in editis titulus hic quemadmodum et qui mox sequitur περὶ ἀρχῶν δραστικῶν exsulabat, sed in mss uterque legitur.

---

b) περὶ ἀγαθῶν] uti in mss supra duo tituli additi, ita iam tres (20, 21 et 22) in unum contrahuntur hac proscriptione: κβ΄. τί ἐστι φύσει ἀγαθὸν καὶ κακὸν καὶ ἀδιαφορον. deinde sequitur κγ΄. εἰ ἔστι τι τούτων φύσει.

c) ταῖς πιθανότησιν] ita scripsi ex codice Vratislav. pro τοὺς πιθανοὺς quod erat in editis, in Savil. τοῖς πιθανοῖς.

ΠΥΡΡΩΝΕΙΩΝ ΥΠΟΤΥΠΩΣΕΩΝ

ΤΩΝ ΕΙΣ ΤΡΙΑ

ΤΟ ΤΡΙΤΟΝ.

P 128

1 *Περὶ μὲν τοῦ λογικοῦ μέρους τῆς λεγομένης φιλοσοφίας ὡς ἐν ὑποτυπώσει τοσαῦτα ἀρκούντως λέγοιτο ἄν* [d]). *κατὰ δὲ τὸν αὐτὸν τρόπον τῆς συγγραφῆς καὶ τὸ φυσικὸν μέρος αὐτῆς ἐπιόντες οὐ πρὸς ἕκαστον τῶν λεγομένων αὐτοῖς κατὰ τὸν τόπον ἀντεροῦμεν, ἀλλὰ τὰ καθολικώτερα* [e]) *κινεῖν ἐπιχειρήσομεν, οἷς συμπεριγράφεται καὶ τὰ λοιπά. ἀρξώμεθα δὲ ἀπὸ τοῦ περὶ ἀρχῶν λόγου* [f]). *καὶ ἐπειδὴ παρὰ τοῖς πλείστοις συμπεφώνηται τῶν ἀρχῶν τὰς μὲν ὑλικὰς εἶναι τὰς δὲ δραστικάς* [g]), *ἀπὸ τῶν δραστικῶν τὴν ἀρχὴν τοῦ λόγου ποιησόμεθα· ταύτας γὰρ καὶ κυριωτέρας τῶν ὑλικῶν φασὶν εἶναι.*

SEXTI PHILOSOPHI

PYRRHONIARVM HYPOTYPOSEON

SIVE INSTITVTIONVM

LIBER TERTIVS.

1. De logica quidem parte eius quae philosophia nominatur ut in brevi institutione quae diximus sufficere possint. eadem autem scribendi methodo utentes eius quoque physicam partem percurremus, non omnibus quae a Dogmaticis dicuntur, sigillatim hoc loco contradicentes, sed generaliora labefactare conantes, cum quibus et reliqua circumscribuntur. prima erit ergo de principiis disputatio. et quoniam plerique in hoc conveniunt, ut ex principiis alia esse materialia alia effectiva fateantur, ab effectivis ordiemur. haec enim et materialibus magis propria dicunt esse.

P 128 *d*) *ἀρκούντως λέγοιτο ἄν*] post haec verba in mss sequitur titulus: *περὶ τοῦ φυσικοῦ μέρους, κεφάλαιον α΄.*

e) *τὰ καθολικώτερα*] supra lib. 2 sect. 84.

f) *περὶ ἀρχῶν λόγου*] post haec verba in mss sequitur titulus: *περὶ θεοῦ, κεφάλαιον β΄.* et mox ante initium sect. 2 titulus alter *περὶ ἀρχῶν δραστικῶν, κεφάλ. γ΄.* sed manifestum est perverso ordine inscriptiones hasce ibi positas esse, nam ad titulum *περὶ δραστικῶν ἀρχῶν* sola illa pauca pertinent in extremo sectionis primae a verbis, *καὶ ἐπειδὴ παρὰ τοῖς πλείστοις.*

g) *δραστικάς*] ms Vratislav. *δραστηρίους.*

ΚΕΦ. α'.

Περὶ θεοῦ.

Οὐκοῦν ἐπεὶ θεὸν εἶναι δραστικώτατον αἴτιον οἱ πλείους 2
ἀπεφήναντο, πρότερον περὶ θεοῦ σκοπήσωμεν, ἐκεῖνο προειπόντες ὅτι τῷ μὲν βίῳ κατακολουθοῦντες ἀδοξάστως[h]) φαμὲν εἶναι θεοὺς καὶ σέβομεν θεοὺς καὶ προνοεῖν αὐτοὺς φαμέν. πρὸς δὲ τὴν προπέτειαν τῶν Δογματικῶν τάδε λέγομεν· τῶν ἐννοουμένων ἡμῖν πραγμάτων τὰς οὐσίας ἐπινοεῖν ὀφείλομεν, οἷον, εἰ σώματά ἐστιν ἢ ἀσώματα. ἀλλὰ καὶ τὰ εἴδη· οὐ γὰρ ἄν τις[i]) ἵππον ἐννοῆσαι δύναιτο μὴ οὐχὶ πρότερον τὸ εἶδος τοῦ ἵππου μαθών. τό τε ἐννοούμενον ἐννοεῖσθαί που ὀφείλει. ἐπεὶ οὖν τῶν 3
Δογματικῶν οἱ μὲν σῶμά φασιν[k]) εἶναι τὸν θεὸν οἱ δὲ ἀσώμα-

CAP. I.

De deo.

2. Itaque quum deum efficacissimam esse causam bona pars eorum pronuntiarit, primum de deo inquiramus, illud praefati nos vitam communem sequentes, nullum autem statuentes dogma, dicere esse deos et colere deos et providentiam illis attribuere, sed adversus Dogmaticorum temeritatem haec afferre: earum rerum quas intellectu percipimus, substantias concipere debemus, ut, an corpora sint an incorporea. formas item. nemo enim equum intellectu percipere possit, nisi prius formam equi cognitam habuerit. deinde quod intellectu percipitur, percipi ut alicubi existens oportet. 3. quum igitur ex Dogmaticis alii deum dicant esse corpus alii incorporeum, et alii

---

h) *ἀδοξάστως*] ita ut non propugnet tamquam dogma philosophicum. supra lib. 2 sect. 13. alioqui profitetur Sextus se deos utique profiteri ac colere melius forte quam alii philosophi, etsi rationibus illorum philosophicis pro dogmate quod sint dii alias contrarias rationes opponat. lib. 1 adversus Physicos sect. 35 *τάχα γὰρ ἀσφαλέστερος παρὰ τοὺς ὡς ἑτέρως φιλοσοφοῦντας εὑρεθήσεται ὁ Σκεπτικός, κατὰ μὲν τὰ πάτρια ἔθη καὶ τοὺς νόμους λέγων εἶναι θεούς, καὶ πᾶν τὸ εἰς τούτων θρησκείαν καὶ εὐσέβειαν συντεῖνον ποιῶν, τὸ δ' οσον ἐπὶ τῇ φιλοσόφῳ ζητήσει μηδὲν προπετευόμενος.* male tamen Sceptici et cum his Sextus passi sunt studio contradicendi Dogmaticis eo usque se abripi ut etiam manifestissima oppugnare et impietatis causam agere non dubitarent, eoque devenisse se profiterentur ut dicerent *οὐ μᾶλλον εἶναι ἢ μὴ εἶναι θεούς*, argumentisque evidentibus pro numinis existentia et atheorum contrariis cavillationibus tribuerent *ἰσοσθένειαν* lib. 1 contra Physicos cap. 42.

i) *οὐ γὰρ ἄν τις*] ita mss recte pro *ἐάν τις*.

k) *οἱ μὲν σῶμά φασιν*] philosophorum varias de diis opiniones pluribus tangit noster libro 1 adversus Physicos, ubi dicta si placet vide. totum autem hoc argumentum ab ignorantia vel discordia philosophorum circa deorum naturam petitum nullo modo facit ad hoc ut deum concipi non posse exinde colligere liceat; nam ita probet aliquis etiam non concipi posse lucem quam omnes videmus, hanc enim corpus esse alii disputant, alii rem incorpoream: vel neget alius quis animum posse concipi, quoniam naturam eius ignoramus et philosophi quid sit animus exponere aggressi in non minus diversas opiniones discessere quam in natura explicanda deorum. equidem a perfecta et adaequata dei essentiae conceptione longissime absumus omnes, ut a conceptione intimae essentiae omnium rerum. at ab effectibus causam admirandam colligimus concipimusque.

τον [l]), καὶ οἱ μὲν ἀνθρωποειδῆ [m]) οἱ δὲ οὔ [n]), καὶ οἱ μὲν ἐν
P 129 τόπῳ οἱ δὲ οὔ [o])· καὶ τῶν ἐν τόπῳ οἱ μὲν ἐντὸς κόσμου [p]), οἱ
δὲ ἐκτός [q]), πῶς δυνησόμεθα ἔννοιαν θεοῦ λαμβάνειν μήτε οὐ-
σίαν ἔχοντες αὐτοῦ ὁμολογουμένην μήτε εἶδος μήτε τόπον ἐν ᾧ
εἴη; πρότερον γὰρ ἐκεῖνοι ὁμολογησάτωσάν τε καὶ συμφωνη-
σάτωσαν ὅτι τοιόσδε ἐστὶν ὁ θεός, εἶτα ἡμῖν αὐτὸν ὑποτυπω-
σάμενοι οὕτως ἀξιούτωσαν, ἡμᾶς ἔννοιαν θεοῦ λαμβάνειν. ἐς
ὅσον δὲ ἀνεπικρίτως διαφωνοῦσι, τί νοήσομεν ἡμεῖς ὁμολογου-
4 μένως παρ' αὐτῶν οὐκ ἔχομεν. ἀλλ' ἄφθαρτόν τι [r]), φασί, καὶ
μακάριον ἐννοήσας τὸν θεὸν εἶναι τοῦτο νόμιζε. τοῦτο δέ ἐστιν
εὔηθες [s]). ὥσπερ ὁ μὴ εἰδὼς τὸν Δίωνα οὐδὲ τὰ συμβεβηκότα
αὐτῷ ὡς Δίωνι δύναται νοεῖν, οὕτως ἐπεὶ οὐκ ἴσμεν τὴν οὐσίαν
τοῦ θεοῦ, οὐδὲ τὰ συμβεβηκότα αὐτῷ μαθεῖν τε καὶ ἐννοῆσαι

quidem humana forma praeditum alii minime, et alii in loco esse alii in loco non esse: et eorum qui in loco esse aiunt, alii intra mundum alii extra eum collocent, quomodo poterimus deum intellectu percipere, si neque substantiam eius habeamus, de qua constet, neque formam, neque locum in quo sit? prius enim illi uno ore fateantur omnes et assentiantur talem esse deum, deinde nobis ipsum deformantes tum demum nos iubeant deum intellectu percipere. nam quatenus indiiudicabilis est inter eos controversia, quod pro confesso et indubitato percipere intellectu possimus, ab illis non habemus. 4. sed tu incorruptibile quiddam et beatum imaginans, inquiunt, illud deum esse existima. at hoc stultum est. nam quemadmodum qui non novit Dionem, ne accidentia quidem ipsi ut Dioni potest imaginari, ita quia dei substantiam non novimus, ne accidentia quidem ipsi cognoscere et ima-

l) οἱ δὲ ἀσώματον] Lucianus Icaromenippo 9: οἱ μὲν ἀσώματον καὶ ἄμορφον ἡγοῦντο εἶναι τὸ θεῖον, οἱ δὲ ὡς περὶ σώματος αὐτοῦ διενοοῦντο: ut nempe corporeos esse deos statuere Stoici et schola omnis Epicureorum, sic deum segregatam mentem ab omni concretione mortali et incorporalem docuerunt Anaxagoras Thales Pythagoras Socrates Plato Aristoteles et bene multi alii.

m) οἱ μὲν ἀνθρωποειδῆ] ut Epicurus.

n) οἱ δὲ οὔ] ut Xenophanes, qui conglobata figura deum esse aiebat, et Stoici qui negabant humana esse forma deos. Laërt. 7 147.

P 129 o) οἱ μὲν ἐν τόπῳ, οἱ δὲ οὔ] loco non comprehendi deum ut Epicurus volebat, sed ubique praesentem totum esse, plerique caeteri senserunt philosophi ac pluribus disputat Plotinus Enneade sexta, qui rationem ipsam hoc suadere ait.

p) οἱ μὲν ἐντὸς κόσμου] ita Stoici, ex quorum opinione deus mundi anima ubique per universum diffusa. vide Laërtium 7 138 et Lipsium lib. 1 Physiologiae Stoicae diss. 8.

q) οἱ δὲ ἐκτός] ita Epicurus qui in intermundiis aiebat deos felix agere aevum, vel Aristoteles de quo Plutarchus lib. 1 de placitis Philosoph. cap. 7 notat quod statuerit τὸν ἀνωτάτω θεὸν εἶδος χωριστὸν ἐπιβεβηκότα τῇ σφαίρᾳ τοῦ παντός.

r) ἀλλ' ἄφθαρτόν τι] sic scribendum res ipsa suasit et codicum mss auctoritas; male enim in editis ἀλλὰ φθαρτόν τι.

s) τοῦτο δέ ἐστιν εὔηθες] temere admodum hoc loco Sextus pronuntiat stolidum esse si quis naturam dei perfecte non norit, et tamen velit de eo affirmare quod beatus sit et incorruptibilis. multarum enim rerum attributa ex effectibus solide et evidenter colligimus, et recte de illis affirmamus, licet ipsarum naturam formamque perspectam penitus non habemus. sic quamquam Sextum numquam de facie novi, tamen possum de illo vere dicere quod fuerit acuto ingenio, et in scriptis philosophorum priscae aetatis non mediocriter versatus.

δυνησόμεθα. χωρὶς δὲ τούτων εἰπάτωσαν ἡμῖν τί ἐστι τὸ μα- 5
κάριον, πότερον τὸ ἐνεργοῦν κατὰ ἀρετὴν t) καὶ προνοούμενον
τῶν ὑφ' ἑαυτὸ τεταγμένων, ἢ τὸ ἀνενέργητον καὶ μήτε u) αὐτὸ
πράγματα ἔχον μήτε ἑτέρῳ παρέχον; καὶ γὰρ καὶ περὶ τούτου
διαφωνήσαντες ἀνεπικρίτως ἀνεννόητον x) ἡμῖν πεποιήκασι τὸ
μακάριον· διὰ δὲ τοῦτο καὶ τὸν θεόν. ἵνα δὲ καὶ ἐπινοῆται ὁ 6
θεός, ἐπέχειν ἀνάγκη περὶ τοῦ πότερόν ἐστιν ἢ οὐκ ἔστιν ὅσον
ἐπὶ τοῖς Δογματικοῖς· τὸ γὰρ εἶναι τὸν θεόν, πρόδηλον μὲν οὐκ
ἔστιν y)· εἰ γὰρ ἐξ ἑαυτοῦ προέπιπτεν, συνεφώνησαν ἂν οἱ
Δογματικοὶ τίς ἐστι καὶ ποταπὸς καὶ ποῦ. ἡ ἀνεπίκριτος δὲ δια-
φωνία πεποίηκεν αὐτὸν ἄδηλον ἡμῖν εἶναι δοκεῖν καὶ ἀποδείξεως
δεόμενον. ὁ μὲν οὖν ὅτι ἔστι θεὸς ἤτοι διὰ προδήλου τοῦτο 7
ἀποδείκνυσιν ἢ δι' ἀδήλου· διὰ προδήλου μὲν οὖν οὐδαμῶς·
εἰ γὰρ ἦν πρόδηλον, τὸ ἀποδεικνύον ὅτι ἔστι θεός, ἐπεὶ τὸ ἀπο- P 130
δεικνύμενον πρὸς τῷ ἀποδεικνύντι νοεῖται, διὸ καὶ συγκαταλαμ-
βάνεται z) αὐτῷ, καθὼς καὶ παρεστήσαμεν, πρόδηλον ἔσται καὶ
τὸ εἶναι θεόν, συγκαταλαμβανόμενον τῷ ἀποδεικνύντι αὐτὸ προ-
δήλῳ ὄντι. οὐκ ἔστι δὲ πρόδηλον, ὡς ὑπεμνήσαμεν, οὐδὲ ἀπο-
δείκνυται ἄρα διὰ προδήλου. ἀλλ' οὐδὲ δι' ἀδήλου· τὸ γὰρ 8
ἄδηλον τὸ ἀποδεικτικὸν τοῦ εἶναι θεόν, ἀποδείξεως χρῇζον, εἰ

nari poterimus. 5. praeterea vero dicant nobis quid sit beatum, an quod agit secundum virtutem et providet illis quae sibi subiecta sunt, an quod in nulla actione versatur, et neque ipsum negotium habet neque alteri exhibet. nam de hoc quoque motis inter se controversiis quae diiudicari numquam potuerunt, impervestigabile nobis beatum illud reddiderunt, ideoque etiam deum. 6. quodsi etiam intellectu concipi possit deus, assensum tamen retinere oportet de eo, utrum sit necne, siquidem pendeamus a Dogmaticis. nam esse deum, sensibus manifestum quidem non est; si enim ex se ipso sub sensus nostros caderet, convenisset inter Dogmaticos de his, quis sit et qualis et ubi; quum contra eorum indiiudicabilis controversia fecerit, ut nihil comperti nec certi de eo habeamus, sed demonstratione indigere existimemus. 7. nam qui dicit esse deum, aut per manifestum hoc demonstrat aut per obscurum. per manifestum quidem nequaquam; nam si manifestum fuerit id quod demonstrat, esse deum, quia quod demonstratur una cum demonstrante intelligitur ac propterea etiam comprehenditur, una cum eo (sicut et ostendimus) manifestum fuerit etiam hoc deum esse; quippe quod comprehendatur una cum demonstrante ipsum re manifesta. atqui non est manifestum, ut docuimus, non igitur demonstratur per manifestum. 8. sed ne per obscurum quidem; nam obscurum per quod demonstrabitur

---

t) τὸ ἐνεργοῦν κατ' ἀρετὴν] ita deum describebat Aristoteles. quod vero sequitur *προνοούμενον τῶν ὑφ' ἑαυτὸ τεταγμένων*, praeter Platonem etiam de deo affirmabant Stoici, ut patet vel ex Laërtii 7 147.

u) τὸ ἀνενέργητον καὶ μήτε] agnoscis beatitatem deorum Epicuri, de qua Gassendus ad librum 10 Laërtii t. 2 p. 271 seq.

x) ἀνεννόητον] ita in mss reperio pro *ἀνερεύνητον*, quod erat in editis, forte pro *ἀνεύρετον* quod habes infra sect. 13.

y) πρόδηλον μὲν οὐκ ἔστιν] *πρόδηλον* vocat sensibus manifestum, qua ratione dei sane ipsius essentia *πρόδηλος* nobis non est, uti nec animus noster, at bonitatis suae et potentiae itemque sapientiae operibus mirandis eorumque conservatione et ad fines propositos directione adeo evidens est ac manifestus cuivis attendenti, ut liceat eum etiam palpare ac *ψηλαφήσασθαι* Actor. 17 27.

z) συγκαταλαμβάνεται] vide lib. 2 sect. 179. P 130

μὲν διὰ προδήλου λέγοιτο ἀποδείκνυσθαι, οὐκέτι ἄδηλον ἔσται,
ἀλλὰ πρόδηλον τὸ εἶναι θεόν. οὐκ ἄρα τὸ ἀποδεικτικὸν αὐτοῦ
ἄδηλον διὰ προδήλου ἀποδείκνυται· ἀλλ᾽ οὐδὲ δι᾽ ἀδήλου· εἰς
ἄπειρον γὰρ ἐκπεσεῖται ὁ τοῦτο λέγων, αἰτούντων ἡμῶν ἀεὶ
ἀπόδειξιν τοῦ φερομένου ἀδήλου πρὸς ἀπόδειξιν τοῦ προκειμέ-
νου a)· οὐκ ἄρα ἐξ ἑτέρου δύναται ἀποδείκνυσθαι τὸ εἶναι θεόν.
9 εἰ δὲ μήτε ἐξ ἑαυτοῦ ἐστι πρόδηλον μήτε ἐξ ἑτέρου ἀποδείκνυ-
ται, ἀκατάληπτον ἔσται, εἰ ἔστι θεός. ἔτι καὶ τοῦτο λεκτέον·
ὁ λέγων εἶναι θεόν, ἤτοι προνοεῖν αὐτὸν τῶν ἐν κόσμῳ φησὶν
ἢ οὐ προνοεῖν· καὶ εἰ μὲν προνοεῖν, ἤτοι πάντων ἢ τινῶν· ἀλλ᾽
εἰ μὲν πάντων προὐνόει, οὐκ ἦν ἂν οὔτε κακόν τι οὔτε κακία b)
ἐν τῷ κόσμῳ· κακίας δὲ πάντα μεστὰ εἶναι λέγουσιν· οὐκ ἄρα
10 πάντων προνοεῖν c) λεχθήσεται ὁ θεός. εἰ δέ τινων προνοεῖ, διὰ
τί τῶνδε μὲν προνοεῖ, τῶνδε δὲ οὔ; ἤτοι γὰρ καὶ βούλεται καὶ
δύναται πάντων προνοεῖν, ἢ βούλεται μὲν οὐ δύναται δέ, ἢ
δύναται μὲν οὐ βούλεται δέ, ἢ οὔτε βούλεται οὔτε δύναται.
ἀλλ᾽ εἰ μὲν καὶ ἠβούλετο καὶ ἠδύνατο, πάντων ἂν προὐνόει·
οὐ προνοεῖ δὲ πάντων (διὰ τὰ προειρημένα), οὐκ ἄρα καὶ βού-

esse deum indigens demonstratione, siquidem per manifestum dicatur demonstrari, non iam obscurum erit, sed manifestum, deum esse. non ergo obscurum hoc quod ad eius demonstrationem sumitur, per manifestum demonstratur. sed neque per obscurum: nam in infinitum delabetur qui hoc dicet, dum semper demonstrationem obscuri quod afferetur petemus ad demonstrationem eius, quod nobis propositum fuerit. non ergo potest ex alio demonstrari esse deum. 9. quodsi nec ex se ipso est manifestum, neque ex alio demonstratur, incomprehensibile erit an sit deus. his autem istud addendum est: qui dicit esse deum, aut providere eum dicit rebus quae sunt in mundo, aut non providere; et si quidem providere dicit, aut omnibus aut aliquibus. sed si quidem omnibus provideret, non esset neque malum ullum neque ulla vitiositas; atqui vitiositate plena omnia esse clamant: non ergo omnibus providere dicetur deus. 10. sin aliquibus providet, quare his quidem providet, illis vero non item? etenim aut vult et potest providere omnibus, aut vult quidem sed non potest, aut potest quidem sed non vult, aut neque vult neque potest. sed si quidem et vellet et posset, omnibus provideret; atqui non providet omnibus, ut apparet ex

---

a) *προκειμένου*] ita mss pro *προεκκειμένου*.

b) *οὐκ ἦν ἂν οὔτε κακόν τι οὔτε κακία*] videtur *κακόν* appellare quod est e malis quae vocamus vulgo physica, *κακίαν* malum morale. sed utrumque male obiicitur ad providentiam dei vel negandam vel in dubium vocandam. deo enim et universo malum nihil est, malaque physica adeo mala non sunt, ut etiam ad salutem et pulchritudinem saepe faciant universi. mali moralis homo auctor est, dum libertate sua abutitur in suum ipsius malum sive damnum. deone igitur imputabitur quod illum non crearit deum vel lapidem, vel quod ita, ut truncum non semper movet cohibetque nec quicquam arbitrii relinquit? quibus vero argumentis probabitur deum liberi nihil usquam permittere posse vel debere?

c) *οὐκ ἄρα πάντων προνοεῖν*] temere hoc inde concludit Sextus. neque enim sequitur statim deum non providere omnibus, quoniam omnia quae huic vel illi quomodocumque mala sunt non occupat et impedit, vel statim opprimit. probandum utique prius erat hoc deum velle et debere facere, atque ad divinae providentiae rationes necessario illud pertinere. itaque et quod sequitur Epicureorum argumentum nihil nos commovebit, ut de providentia divina dubitemus. vide quae ad idem dilemma respondet Lactantius libro de ira dei cap. 13.

λεται καὶ δύναται πάντων προνοεῖν. εἰ δὲ βούλεται μὲν οὐ δύναται δέ, ἀσθενέστερός ἐστι τῆς αἰτίας δι' ἣν οὐ δύναται προνοεῖν ὧν οὐ προνοεῖ· ἔστι δὲ παρὰ τὴν θεοῦ ἐπίνοιαν τὸ ἀσθε- 11
νέστερον εἶναί τινος αὐτόν. εἰ δὲ δύναται μὲν πάντων προνοεῖν οὐ βούλεται δέ, βάσκανος ἂν εἶναι[d] νομισθείη. εἰ δὲ οὔτε βού- P 131
λεται οὔτε δύναται, καὶ βάσκανός ἐστι καὶ ἀσθενής, ὅπερ λέγειν περὶ θεοῦ ἀσεβούντων ἐστίν. οὐκ ἄρα προνοεῖ τῶν ἐν κόσμῳ ὁ θεός. εἰ δὲ οὐδενὸς πρόνοιαν ποιεῖται, οὐδὲ ἔστιν αὐτοῦ ἔργον[e] οὐδὲ ἀποτέλεσμα, οὐχ ἕξει τις εἰπεῖν πόθεν καταλαμβάνει ὅτι ἔστι θεός, εἴ γε μήτε ἐξ ἑαυτοῦ φαίνεται μήτε δι' ἀποτελεσμάτων τινῶν καταλαμβάνεται. καὶ διὰ ταῦτα ἄρα ἀκατάληπτόν ἐστιν εἰ ἔστι θεός. ἐκ δὲ τούτων ἐπιλογιζόμεθα ὅτι ἴσως 12
ἀσεβεῖν ἀναγκάζονται οἱ διαβεβαιωτικῶς λέγοντες εἶναι θεόν· πάντων μὲν γὰρ αὐτὸν προνοεῖν λέγοντες κακῶν αἴτιον τὸν θεὸν[f]

supra dictis, ergo nequaquam et vult et potest omnibus providere. quodsi vult quidem sed non potest, eius vires superabit illa causa propter quam non potest providere illis quibus non providet. 11. atqui absurdum est deum imaginari talem, cuius vires ulli rei cedant. at si potest quidem omnibus providere, sed non vult, invidus esse existimari possit. quodsi neque vult neque potest, et invidus est et debiles sunt eius vires, quod de deo dicere impiorum est. non ergo providet deus iis quae sunt in mundo. quodsi nulli providet, neque exstat ullum eius opus neque ullus effectus, non potest quisquam dicere unde comprehendat deum esse, quum nec ex se ipso appareat nec per ullos effectus comprehendatur. quocirca his quoque de causis incomprehensibile est an sit deus. 12. ex his autem ratiocinamur impietatis crimen fortassis effugere non posse illos qui asseveranter deum esse dicunt. nam si ipsum providere omnibus inquiant, malorum auctorem deum

---

d) βάσκανος ἂν εἶναι] inepte hinc concluditur deum fore invidum, id si nolit facere, ex quo non providere eum omnibus falso Sextus colligit. perinde enim hoc est ac si dicas invidia laborare deum, quod lutum esse permittat et non omne statim in aurum transformet, vel quod pro bufonibus et scarabaeis noluerit esse homines, vel quod omnes homines P 131
noluerit esse Salomones dignitate sapientia et potentia, vel Salomonem non fecerit archangelum aut deum. miseri homunciones nostra parvitate et brevi praesentis vitae decursu metientes singula veros fines rationesque divinae providentiae nec videmus nec intelligimus, et ex nostro ingenio volumus leges illi ferre, ex quibus audacter pronuntiemus quae facere deus, quae omittere debeat.

e) οὐδὲ ἔστιν αὐτοῦ ἔργον] mss οὐδέν. non male haec duo iunguntur: si deus non provideat mundo, neque mundum fore dei opus. itaque et Epicurus negabat mundum a deo creatum esse, sed fortuito atomorum concursu ita exstitisse aiebat. alii aeternum esse dictitabant mundum sine auctore, sine deo, ut Strato Lampsacenus. absurde utrique, cum temere coaluisse non possint, quae tanta arte ad pulcherrimos fines sunt instituta, et nequeant aeterna esse, quae per omnes partes continuo moventur ac mutantur, nedum possent moveri ad certos fines, eosque sapientissimos et rebus quae moventur ignoratos, si motus illarum nullus auctor rectorque existeret. invertendum itaque erat argumentum et concludendum: est autem mundus dei opus, ergo etiam illi providet ratione deo digna et ad fines quos intendit accommodata, licet nos vias providentiae eius ac recessus omnes perspectas haud habeamus.

f) κακῶν αἴτιον τὸν θεὸν] recte ait Sextus impium fore si quis deum caussam esse mali dixerit, atque ut supra monui, deo et universo malum nullum est. et plane nullum cuicumque vel cuiuscumque generis malum exstaret nisi exstarent et a deo profecta essent tot bona, quibus

εἶναι φήσουσιν· τινῶν δὲ ἢ καὶ μηδενὸς προνοεῖν αὐτὸν λέγοντες ἤτοι βάσκανον τὸν θεὸν ἢ ἀσθενῆ λέγειν ἀναγκασθήσονται. ταῦτα δέ ἐστιν ἀσεβούντων προδήλως.

ΚΕΦ. β'.

Περὶ αἰτίου.

13 Ἵνα δὲ μὴ καὶ ἡμᾶς βλασφημεῖν g) ἐπιχειρήσωσιν οἱ Δογματικοὶ δι' ἀπορίαν τοῦ πραγματικῶς ἡμῖν ἀντιλέγειν, κοινότερον περὶ τοῦ ἐνεργητικοῦ αἰτίου διαπορήσομεν, πρότερον ἐπιστῆσαι πειραθέντες τῇ τοῦ αἰτίου ἐπινοίᾳ. ὅσον μὲν οὖν ἐπὶ τοῖς λεγομένοις ὑπὸ τῶν Δογματικῶν, οὐδ' ἂν ἐννοῆσαί τις τὸ αἴτιον δύναιτο, εἴ γε πρὸς τῷ διαφώνους καὶ ἀλλοκότους ἐννοίας τοῦ αἰτίου ἐκδιδόναι καὶ τὴν ὑπόστασιν αὐτοῦ πεποιήκασιν ἀνεύρετον διὰ
14 τὴν περὶ αὐτὸ διαφωνίαν. οἱ μὲν γὰρ σῶμα h), οἱ δὲ ἀσώματον τὸ αἴτιον εἶναί φασιν. δόξαι δ' ἂν αἴτιον εἶναι κοινότερον κατ' αὐτοὺς δι' ὃ ἐνεργοῦν i) γίνεται τὸ ἀποτέλεσμα· οἷον ὡς ὁ ἥλιος ἢ ἡ τοῦ ἡλίου θερμότης τοῦ χεῖσθαι τὸν κηρὸν ἢ τῆς χύσεως τοῦ κηροῦ. καὶ γὰρ ἐν τούτῳ διαπεφωνήκασιν, οἱ μὲν προσηγο-
P 132 ριῶν αἴτιον εἶναι τὸ αἴτιον k) φάσκοντες, οἷον τῆς χύσεως, οἱ δὲ κατηγορημάτων οἷον τοῦ χεῖσθαι. δι' ὅ, καθάπερ εἶπον, κοινότερον ἂν εἴη τὸ αἴτιον τοῦτο, δι' ὃ ἐνεργοῦν γίνεται τὸ ἀποτέλε-

esse dicent, sin ipsum aliquibus aut nulli providere inquiant, aut invidum deum aut imbecilles dei vires dicere cogentur, atqui haec non sine manifestaria impietate proferri possunt.

CAP. II.

De causa.

13. Verum ne nos maledictis prosequi aggrediantur Dogmatici, dum non invenient quomodo nobis rebus ipsis atque argumentis contradicant, magis communi et recepto modo de activa causa quaestionem movebimus, prius ad imaginandum quid sit causa, appellere animum conati, quamobrem ex iis quae a Dogmaticis dicuntur causae notionem nemo intellectu percipere possit, quoniam illi praeter controversas et peregrinas notiones causae eius subsistentiam quoque reddiderunt inventu impossibilem, propter suam de eo controversiam. 14. alii enim corpus, alii incorpoream esse dicunt causam. possit autem videri esse causa apud eos secundum generaliorem opinionem, propter quam operantem fit effectus. exempli gratia, sol aut solis calor causa est liquefieri ceram, vel liquefactionis cerae. nam de hoc inter se dissident, quum causam alii appellationum esse causam dicant ut liquefactionis, alii praedicatorum ut liquefieri. itaque, sicut dixi, secundum generaliorem et receptum apud plures eorum modum causa fuerit illud propter

---

dum carere vel privari potest quicquid infra deum est, id fit in malis physicis citra iniuriam, cum bona omnia gratis sint data, in malis vero moralibus per declinationem voluntatis, quae voluntas humana non esset si declinare non posset. impudens autem causam iacturae appellare eum qui bonum dedit quod culpa mea potuit amitti, atque illi imputare quod me non etiam coëgerit illud servare integrum.

g) ἡμᾶς βλασφημεῖν] tamquam atheos nempe et numinis contemptores.
h) οἱ μὲν γὰρ σῶμα] vide quae dicta ad lib. 1 adversus Physicos.
i) δι' ὃ ἐνεργοῦν] communis haec definitio causae Platoni Aristoteli Stoicis caeterisque philosophis.
P 132 k) εἶναι τὸ αἴτιον] ms Vratislav. τὸ ἀγγεῖον, male.

σμα. τούτων δὲ τῶν αἰτίων οἱ μὲν πλείους ἡγοῦνται τὰ μὲν 15
συνεκτικὰ[l]) εἶναι τὰ δὲ συναίτια, τὰ δὲ συνεργά[m])· καὶ συνεκτικὰ μὲν ὑπάρχειν ὧν παρόντων πάρεστι τὸ ἀποτέλεσμα καὶ αἰρομένων αἴρεται καὶ μειουμένων μειοῦται· οὕτω γὰρ τὴν περίθεσιν τῆς στραγγάλης[n]) αἴτιον εἶναί φασι τοῦ πνιγμοῦ. συναίτιον δέ, ὃ τὴν ἴσην εἰσφέρεται δύναμιν ἑτέρῳ συναιτίῳ πρὸς τὸ εἶναι τὸ ἀποτέλεσμα· οὕτως ἕκαστον τῶν ἑλκόντων τὸ ἄροτρον βοῶν αἴτιόν εἶναί φασι τῆς ὁλκῆς τοῦ ἀρότρου. συνεργὸν δέ, ὃ βραχεῖαν εἰσφέρεται δύναμιν καὶ πρὸς τὸ μετὰ ῥᾳστώνης ὑπάρχειν τὸ ἀποτέλεσμα· οἷον ὅταν δύο βάρος τι βασταζόντων μόλις τρίτος προσελθὼν συγκουφίσῃ τοῦτο. ἔνιοι μέντοι καὶ 16
παρόντα μελλόντων αἴτια ἔφασαν εἶναι, ὡς τὰ προκαταρκτικά, οἷον τὴν ἐπιτεταμένην ἡλίωσιν πυρετοῦ[o])· τινὲς δὲ ταῦτα παρῃτήσαντο, ἐπειδὴ τὸ αἴτιον πρός τι ὑπάρχον καὶ πρὸς τὸ ἀποτέλεσμα ὂν οὐ δύναται προηγεῖσθαι αὐτοῦ[p]) ὡς αἴτιον. ἐν δὲ τῇ περὶ αὐτῶν ἀπορήσει τοιάδε λέγομεν.

ΚΕΦ. γʹ.

Εἰ ἔστι τί τινος αἴτιον.

Πιθανόν ἐστιν εἶναι τὸ αἴτιον. πῶς γὰρ ἂν αὔξησις γένοιτο 17
μείωσις γένεσις φθορὰ καθόλου κίνησις τῶν φυσικῶν τε καὶ ψυ-

quod operans fit effectus. 15. harum autem causarum alii et quidem eorum bona pars existimant alias esse continentes effectum, alias concausales, alias adiutrices. et continentes quidem esse quibus praesentibus adest effectus et quibus sublatis tollitur et minutis minuitur. ita enim iniectionem laquei causam esse dicunt suffocationis. concausalem autem, quae pares cum altera causa socia vires ad id ut fiat effectus, affert; quo modo unumquemque boum aratrum trahentium causam esse dicunt tractionis aratri. adiutricem vero, quae parvas addit vires et ad hoc ut facile existat effectus; et quum duo aliquod onus aegre portant, tertius aliquis adveniens una cum ipsis illud portando sublevat. 16. nonnulli vero etiam praesentia futurorum causas esse dixerunt, ut antecedentes, veluti vehementem a sole calorem febris. nonnulli autem haec admittere noluerunt, quia causa, cum sit ex iis quae referuntur ad aliquid, atque adeo ad ipsum effectum, praecedere ipsum tamquam causa non potest. nos autem de iis dubitationem moventes haec dicimus.

CAP. III.

An sit aliquid alicuius causa.

17. Verisimile est esse causam. quomodo enim incrementum esset et decrementum, generatio vel corruptio et generaliter motus, naturalium et

---

l) συνεκτικὰ] quae in actu posita effectum statim ponunt, atque adeo veluti in se continent.

m) τὰ δὲ συναίτια, τὰ δὲ συνεργά] ex Stoicorum sententia distinguuntur causae sociae a causis adiutricibus, quas alii confundunt, ut videre est apud Suidam in αἴτιον.

n) τῆς στραγγάλης] στραγγάλη laqueus, unde Latinis strangulare. Psal. 124, 5 στραγγαλιάς pro quo Aquila διαπλοκάς. Hesychius: στραγγαλιαὶ καὶ στραγγαλίδες· συστροφαὶ διαστροφαὶ παγίδες ἢ πλοκαί.

o) ἡλίωσιν πυρετοῦ] Galenus de causis morborum cap. 2 et lib. 1 de differentiis febrium c. 2 etc.

p) οὐ δύναται προηγεῖσθαι] infra sect. 25.

χικῶν ἀποτελεσμάτων ἕκαστον ἢ τοῦ παντὸς κόσμου διοίκησις τὰ ἄλλα πάντα, εἰ μὴ κατά τινα αἰτίαν; καὶ γὰρ εἰ μηδὲν τούτων ὡς πρὸς τὴν φύσιν ὑπάρχει, λέξομεν ὅτι διά τινα αἰτίαν
18 πάντως φαίνεται ἡμῖν τοιαῦτα, ὁποῖα οὐκ ἔστιν. ἀλλὰ καὶ πάντα ἐκ πάντων καὶ ὡς ἔτυχεν ἂν ἦν, μὴ οὔσης αἰτίας. οἷον ἵπποι μὲν ἐκ μυῶν, εἰ τύχοι, γεννηθήσονται, ἐλέφαντες δὲ ἐκ μυρμήκων. καὶ ἐν μὲν ταῖς Αἰγυπτίαις Θήβαις ὄμβροι[q]) κατὰ τύχην ποτὲ ἐξαίσιοι καὶ χιόνες, ὡς ἔτυχεν ἄν, ἐγένοντο· τὰ δὲ
P 133 νότια ὄμβρων ἐπεὶ μετέχει[r]), οὐ μετεῖχεν, εἰ μὴ αἰτία τις ἦν, δι' ἣν τὰ μὲν νότιά ἐστι δυσχείμερα, αὐχμηρὰ δὲ τὰ πρὸς τὴν
19 ἕω. καὶ περιτρέπεται δὲ ὁ λέγων μηδὲν αἴτιον εἶναι· εἰ μὲν γὰρ ἁπλῶς καὶ ἄνευ τινὸς αἰτίας τοῦτό φησι λέγειν, ἄπιστος ἔσται· εἰ δὲ διά τινα αἰτίαν, βουλόμενος ἀναιρεῖν τὸ αἴτιον, τίθησιν, ἀποδιδόσθω αἰτία δι' ἣν οὐκ ἔστιν αἴτιον· διὰ ταῦτα μὲν οὖν
20 πιθανόν ἐστιν εἶναι τὸ αἴτιον. ὅτι δὲ καὶ τὸ λέγειν μὴ εἶναι τινός τι αἴτιον πιθανόν ἐστι, φανερὸν ἔσται, λόγους ἡμῶν ἐκθεμένων ὀλίγους ἀπὸ πολλῶν, ἐπὶ τοῦ παρόντος πρὸς τὴν τούτου ὑπόμνησιν. οἷον γοῦν ἀδύνατόν ἐστι[s]) τὸ αἴτιον ἐννοῆσαι, πρὶν τὸ ἀποτέλεσμα τούτου καταλαβεῖν ὡς ἀποτέλεσμα αὐτοῦ· τότε γὰρ γνωρίζομεν ὅτι αἴτιόν ἐστι τοῦ ἀποτελέσματος, ὅταν ἐκεῖνο
21 ὡς ἀποτέλεσμα καταλαμβάνωμεν. ἀλλ' οὐδὲ τὸ ἀποτέλεσμα τοῦ αἰτίου ὡς ἀποτέλεσμα αὐτοῦ καταλαβεῖν δυνάμεθα, ἐὰν μὴ καταλάβωμεν τὸ αἴτιον τοῦ ἀποτελέσματος ὡς αἴτιον αὐτοῦ. τότε

ab animo proficiscentium effectuum unusquisque, totius mundi gubernatio, reliqua omnia, nisi per aliquam causam? atque si nihil etiam horum vere atque in natura tale existeret, dicemus tamen propter aliquam causam omnino videri nobis talia esse qualia non sunt. 18. insuper vero quaevis ex quibusvis et temere fierent, nisi esset causa. verbi gratia, ex muribus quidem equi fortasse generarentur, elephantes autem ex formicis: et apud Thebas Aegyptiacas imbres rapidi et nives essent, at partes australes quibus imbres cadunt imbres nullos haberent, nisi causa foret aliqua propter quam in australibus quidem partibus frigus valde saeviret, aridae autem et aestuosae essent partes orientales. 19. quin etiam utrinque subvertitur qui nullam esse causam dicit, si enim simpliciter et sine ulla causa hoc ait se dicere, fide carebit; sin aliquam causam, volens evertere causam, ponit, reddatur causa propter quam non est causa. propter haec igitur verisimile est esse causam. 20. verisimiliter autem loqui eum quoque qui quicquam cuiusquam causam esse negat manifestum erit, ubi rationes exposuerimus paucas de multis in praesentia ad hoc docendum. primum igitur impossibile erit causam imaginari, priusquam effectum eius comprehenderimus, ut effectum illius: nam tum demum cognoscimus causam esse effectus, quum illum ut effectum comprehendimus. 21. sed ne ipsum quidem effectum causae ut effectum eius comprehendere possumus, nisi causam effectus comprehenda-

---

q) ἐν μὲν ταῖς Αἰγυπτίαις Θήβαις ὄμβροι] in Thebaide nullas pluvias cadere, in inferiore Aegypto et ultra Thebaidem in Aethiopia copiosas et frequentissimas, notarunt praeter alios Aristides oratione Aegyptiaca t. 3 p. 567 et Cosmas Indopleustes libro 1 Cosmographiae Christianae p. 122. e recentioribus Io. Mich. Wanslebius in relatione de Aegypto, Gallice edita p. 355, Samuel Bochartus in Hierozoico t. 1 p. 1194 seq. et c. 69 itineris in Orientem Nicolaus Melchisedech Thevenotus.

P 132 r) ἐπεὶ μετέχει] haec verba in mss quibusdam codd. desiderantur.

s) ἀδύνατόν ἐστι] ita mss pro ἔσται.

γὰρ καὶ ὅτι ἀποτέλεσμά ἐστι αὐτοῦ, γινώσκειν δοκοῦμεν, ὅταν τὸ αἴτιον αὐτοῦ ὡς αἴτιον αὐτοῦ καταλάβωμεν. εἰ οὖν ἵνα μὲν 22
ἐννοήσωμεν τὸ αἴτιον, δεῖ προεπιγνῶναι τὸ ἀποτέλεσμα, ἵνα δὲ τὸ ἀποτέλεσμα γνῶμεν, ὡς ἔφην, δεῖ προεπίστασθαι τὸ αἴτιον, ὁ διάλληλος τῆς ἀπορίας τρόπος ἄμφω δείκνυσιν ἀνεπινόητα, μήτε τοῦ αἰτίου ὡς αἰτίου μήτε τοῦ ἀποτελέσματος ὡς ἀποτελέσματος ἐπινοεῖσθαι δυναμένου· ἑκατέρου γὰρ αὐτῶν δεομένου τῆς παρὰ θατέρου πίστεως, οὐχ ἕξομεν ἀπὸ τίνος αὐτῶν ἀρξόμεθα τῆς ἐννοίας. διόπερ οὐδὲ ἀποφαίνεσθαι δυνησόμεθα ὅτι 23
ἔστι τί τινος αἴτιον. ἵνα δὲ καὶ ἐννοεῖσθαι δύνασθαι τὸ αἴτιον συγχωρήσῃ τις, ἀκατάληπτον t) ἂν εἶναι νομισθείη διὰ τὴν διαφωνίαν. ὃς μὲν γάρ φησιν εἶναί τι τινος αἴτιον, ἤτοι ἁπλῶς καὶ ἀπὸ μηδεμιᾶς ὁρμώμενος αἰτίας εὐλόγου τοῦτό φησι λέγειν ἢ διά τινας αἰτίας ἐπὶ τὴν συγκατάθεσιν ταύτην ἰέναι λέξει· καὶ εἰ μὲν ἁπλῶς, οὐκ ἔσται πιστότερος τοῦ λέγοντος ἁπλῶς μηδὲν εἶναι μηδενὸς αἴτιον· εἰ δὲ καὶ αἰτίας λέξει δι᾽ ἃς εἶναί τινος αἴτιον νομίζοι, τὸ ζητούμενον διὰ τοῦ ζητουμένου παριστᾶν ἐπιχειρήσει. ζητούντων γὰρ ἡμῶν εἰ ἔστι τί τινος αἴτιον, αὐτός, ὡς αἰτίας οὔσης τὸ εἶναι αἴτιον u), αἴτιον εἶναι φησίν. καὶ ἄλ- 24
λως ἐπεὶ περὶ τῆς ὑπάρξεως τοῦ αἰτίου ζητοῦμεν, δεήσει πάντως αὐτὸν καὶ τῆς αἰτίας τοῦ εἶναί τι αἴτιον αἰτίαν παρασχεῖν P 184
κἀκείνης ἄλλην καὶ μέχρις ἀπείρου. ἀδύνατον δὲ ἀπείρους αἰτίας παρασχεῖν, ἀδύνατον ἄρα διαβεβαιωτικῶς ἀποφῆναι ὅτι ἔστι τί τινος αἴτιον. πρὸς τούτοις ἤτοι ὂν καὶ ὑφεστὼς ἤδη αἴτιον 25

mus ut causam eius. tunc enim etiam effectum eius esse cognoscere nobis videmur, quando causam eius ut causam eius comprehendimus. 22. si ergo, ut causam quidem imaginemur, oportet prius cognovisse effectum; ut autem effectum cognoscamus, ut dixi, oportet praecognovisse causam, mutuus dubitationis modus ostendit ambo esse huiusmodi quae imaginari nullo modo possimus, quum neque causam ut causam neque effectum ut effectum imaginari queamus. quum enim mutuo alterum alterius confirmatione egeat, utrum ipsorum prius imaginari oporteat nesciemus. itaque nec esse aliquid alicuius causam pronuntiare poterimus. 23. ut autem etiam posse causam sub imaginationem cadere aliquis concedat, incomprehensibilis tamen propter controversiam habeatur eius existentia. nam qui dicit esse alicuius causam, aut simpliciter et a nulla causa probabili impulsum hoc se dicere aut propter aliquas causas se huic opinioni assentiri ait. et si quidem simpliciter, non erit fide dignior eo qui dicit simpliciter nihil cuiusquam esse causam: sin rationes proferet propter quas esse aliquid alicuius causam existimet, hoc quod quaeritur per alterum quod quaeritur ostendere conabitur. nam quum hac in quaestione versetur, an quicquam cuiusquam causa sit, ipse tamquam causa sit, causam esse cur causa sit, dicet. 24. praeterea, quoniam de existentia causae quaestio a nobis agitatur, etiam causam illius causae quam attulerit ad probandum causam esse, necesse habuerit proferre, et illius rursum aliam et ita usque in infinitum. atqui impossibile est infinitas causas ostendere: impossibile est igitur asseveranter pronuntiare aliquid esse alicuius causam. 25. ad haec aut causa, quum iam est et existit causa, facit effectum,

---

t) ἀκατάληπτον] etiam si detur quod concipi possit caussae notio, non tamen comprehendi poterit caussam eiusmodi vere dari atque existere.

u) αὐτὸς ὡς αἰτίας οὔσης τὸ εἶναι αἴτιον] ita mss pro αὐτὸ ὡς αἰτίας οὔσης τοῦ εἶναι αἴτιον quod erat in editis. manuscriptis consentit etiam HStephani interpretatio.

τὸ αἴτιον ποιεῖ ἀποτέλεσμα, ἢ μὴ ὂν αἴτιον· καὶ μὴ ὂν μέν,
οὐδαμῶς· εἰ δὲ ὄν, δεῖ αὐτὸ πρότερον ὑποστῆναι καὶ προγενέ-
σθαι αἴτιον, εἶθ' οὕτως ἐπάγειν τὸ ἀποτέλεσμα, ὅπερ ὑπ' αὐ-
τοῦ ἀποτελεῖσθαι λέγεται, ὄντος ἤδη αἰτίου. ἀλλ' ἐπεὶ πρός τι
ἐστι τὸ αἴτιον καὶ πρὸς τὸ ἀποτέλεσμα, σαφὲς ὅτι μὴ δύναται
τούτου ὡς αἴτιον προϋποστῆναι x)· οὐδὲ ὂν ἄρα αἴτιον τὸ αἴτιον
26 ἀποτελεῖν δύναται τὸ οὗ ἐστιν αἴτιον. εἰ δὲ μήτε μὴ ὂν αἴτιον
ἀποτελεῖ τι μήτε ὄν, οὐδὲ ἀποτελεῖ τι· διὸ οὐδὲ αἴτιον ἔσται.
ἄνευ γὰρ τοῦ ἀποτελεῖν τι τὸ αἴτιον οὐ δύναται ὡς αἴτιον
νοεῖσθαι. ὅθεν κἀκεῖνο λέγουσί τινες, τὸ αἴτιον ἤτοι συνυφί-
στασθαι δεῖ τῷ ἀποτελέσματι, ἢ προϋφίστασθαι τούτου, ἢ μετὰ
τοῦτο γίγνεσθαι. τὸ μὲν οὖν λέγειν ὅτι τὸ αἴτιον εἰς ὑπόστασιν
ἄγεται μετὰ τὴν γένεσιν τοῦ ἀποτελέσματος αὐτοῦ, μὴ καὶ γε-
λοῖον ᾖ y)· ἀλλ' οὐδὲ προϋφίστασθαι δύναται τούτου· πρὸς
27 αὐτὸ γὰρ νοεῖσθαι λέγεται. τὰ δὲ πρός τί φασιν αὐτοὶ z) καθ' ὃ
πρός τι ἐστὶν συνυπάρχειν καὶ συννοεῖσθαι ἀλλήλοις. ἀλλ' οὐδὲ
συνυφίστασθαι· εἰ γὰρ ἀποτελεστικὸν αὐτοῦ ἐστι, τὸ δὲ γινό-
μενον ὑπὸ ὄντος ἤδη γίνεσθαι χρή, πρότερον δεῖ τὸ αἴτιον γε-
νέσθαι αἴτιον, εἶθ' οὕτως ποιεῖν τὸ ἀποτέλεσμα. εἰ οὖν τὸ αἴ-
τιον μήτε προϋφίσταται τοῦ ἀποτελέσματος αὐτοῦ μήτε συνυφ-
ίσταται τούτῳ, ἀλλ' οὐδὲ πρὸ αὐτοῦ γίνεται, μήποτε οὐδὲ
28 ὑποστάσεως ὅλως μετέχει. σαφὲς δὲ ἴσως, ὅτι καὶ διὰ τούτων
ἡ ἐπίνοια τοῦ αἰτίου πάλιν περιτρέπεται· εἰ γὰρ τὸ αἴτιον ὡς
μὲν πρός τι οὐ δύναται τοῦ ἀποτελέσματος αὐτοῦ προεπινοηθῆ-

sit quum non est causa. sed quum non est, nequaquam, sin quum est, oportet ipsam prius existentiam habuisse et prius fuisse causam, deinde eum inducere effectum, qui ab ipsa effici dicitur quum iam est causa. sed quoniam causa est ex iis quae referuntur ad aliquid, nempe ad effectum, non posse eam ante illum ut causam existere, manifestum est. ergo causa ne tum quidem quum est causa, efficere potest illud cuius est causa. 26. quodsi neque tum quum non est causa efficit aliquid, neque quum est, ne efficit quidem quicquam. quare ne causa quidem erit. nam causa non potest ut causa intellectu percipi, nisi efficiat aliquid. unde illud etiam dicunt nonnulli, causam aut coëxistere oportet cum effectu aut prius aut post existere. nunc vero, si quidem dicamus causam incipere existere post generationem effectus ipsius, vereor ut nimis hoc ridiculum fuerit. sed neque ante ipsum existere potest; cum ipso quippe, tamquam relatum, dicitur intellectu percipi. 27. quae enim sunt relata dicunt ipsi, quatenus relata sunt, coëxistere et simul intellectu percipi alia cum aliis. quin etiam coëxistere non potest. si enim effectiva eius est, quod autem fit, ab alio iam existente fieri oportet, causam prius esse causam, ac tum demum facere effectum necesse est. quamobrem si causa neque coëxistit cum suo effectu, neque ante neque post ipsum existit, ullone modo existentiae particeps esse possit? 28. insuper vero ex his, ni fallor, imaginationem causae rursus everti liquet; si enim causam tamquam relatum non possumus ante effectum eius imaginari, ut autem tamquam

---

P 134 x) μὴ δύναται προϋποστῆναι] supra sect. 16. vide etiam lib. I contra Physicos.

y) μὴ καὶ γελοῖον ᾖ] ita mss pro εἴη.

z) φασὶν αὐτοὶ] notissimum apud Peripateticos Stoicosque scitum *relata esse simul natura*, in vulgaribus etiam logicorum libellis tritum decantatumque.

ναι, ἵνα δὲ ὡς αἴτιον τοῦ ἀποτελέσματος αὐτοῦ νοηθῇ, δεῖ αὐτὸ προεπινοεῖσθαι τοῦ ἀποτελέσματος αὐτοῦ, ἀδύνατον δὲ προεπινοηθῆναί τι ἐκείνου, οὗ προεπινοηθῆναί τι οὐ δύναται, ἀδύνατον ἄρα ἐστὶν ἐπινοηθῆναι τὸ αἴτιον. ἐκ τούτων οὖν λοιπὸν ἐπι- 29
λογιζόμεθα ὅτι πιθανοὶ μέν εἰσιν οἱ λόγοι καθ' οὓς ὑπεμνήσαμεν[a]) ὡς χρὴ λέγειν αἴτιον εἶναι, πιθανοὶ δὲ καὶ οἱ παριστάντες ὅτι μὴ προσήκει αἴτιον εἶναί τι ἀποφαίνεσθαι· καὶ τούτων προκρίνειν τινὰς οὐκ ἐνδέχεται, μήτε σημεῖον μήτε κριτήριον P 135
μήτε ἀπόδειξιν ὁμολογουμένως ἡμῶν ἐχόντων, ὡς ἔμπροσθεν παρεστήσαμεν[b])· ἐπέχειν ἀνάγκη καὶ περὶ τῆς ὑποστάσεως τοῦ αἰτίου μὴ μᾶλλον εἶναι ἢ μὴ εἶναί τι αἴτιον λέγοντας, ὅσον ἐπὶ τοῖς λεγομένοις ὑπὸ τῶν Δογματικῶν.

ΚΕΦ. δʹ.

Περὶ ὑλικῶν ἀρχῶν.

Περὶ μὲν οὖν τῆς δραστικῆς[c]) τοσαῦτα νῦν ἀρκέσει λελέ- 30
χθαι. συντόμως δὲ καὶ περὶ τῶν ὑλικῶν καλουμένων ἀρχῶν λεκτέον. ὅτι τοίνυν αὗται εἰσιν ἀκατάληπτοι, ῥᾴδιον συνιδεῖν ἐκ τῆς περὶ αὐτῶν γεγενημένης διαφωνίας παρὰ τοῖς Δογματικοῖς. Φερεκύδης μὲν ὁ Σύριος[d]) γῆν εἶπε τὴν πάντων εἶναι ἀρχήν,

causam effectus eius imaginemur, necesse est ut ipsam ante effectum eius imaginemur; at impossibile est imaginari quicquam ante illud, ante quod nihil imaginari possumus, impossibile certe est imaginari causam. 29. ex hac igitur ratiocinatione rursus colligimus verisimiles quidem esse rationes quibus docuimus dici debere causam esse, sed verisimiles tamen esse et illas quae ostendunt non esse pronuntiandum, quicquam esse causam. ex his autem rationibus alterutras praeferre non datur quum neque signum neque diiudicatorium neque demonstrationem de quibus constet, habeamus, ut antea docuimus, ergo ut de existentia causae assensum retineamus ac nihilo magis esse quam non esse dicamus, quantum quidem ad ea attinet quae a Dogmaticis dicuntur, necesse est.

CAP. IV.

De materialibus principiis.

30. De effectivis ergo haec dicta in praesentia sufficiant, breviter autem etiam de principiis quae materialia vocantur dicendum est. haec igitur esse incomprehensibilia promptum est perspicere ex controversia quae de iis inter Dogmaticos exstitit. Pherecydes quidem Syrius terram dixit omnium esse

---

a) ὑπεμνήσαμεν] supra sect. 17, 18, 19.

b) ἔμπροσθεν παρεστήσαμεν] libro 2, ubi de signo quidem sect. 104, P 135
de criterio sect. 18, de demonstratione sect. 134 seq.

c) τῆς δραστικῆς] scil. ἀρχῆς, de causa sive principio efficiente. quae hinc de principiis physicis materialibus et diversis philosophorum, quaenam illa sint, opinionibus subiungit, latius exposita videre licet lib. 1 contra Physicos sect. 359 seq. et lib. 2.

d) Φερεκύδης μὲν ὁ Σύριος] Hermias in irrisione gentilium c. 12 Φερεκύδης μὲν ἀρχὰς εἶναι λέγων Ζῆνα καὶ Χθονίην καὶ Κρόνον. Ζῆνα μὲν τὸν αἰθέρα, Χθονίην δὲ τὴν γῆν, Κρόνον δὲ τὸν χρόνον. ὁ μὲν αἰθὴρ (ignis) τὸ ποιοῦν, ἡ δὲ γῆ τὸ πάσχον, ὁ δὲ χρόνος ἐν ᾧ τὰ γινόμενα. parum verisimilia sunt quae ad hunc locum commentatur praestantissimus Galeus, et male apud Damascium pro Ζῆνα legas ζῶντα

Θάλης[e]) δὲ ὁ Μιλήσιος ὕδωρ, Ἀναξίμανδρος[f]) δὲ ὁ ἀκουστὴς τούτου τὸ ἄπειρον, Ἀναξιμένης[g]) δὲ καὶ Διογένης[h]) ὁ Ἀπολλωνιάτης ἀέρα, Ἵππασος[i]) δὲ ὁ Μεταποντῖνος πῦρ, Ξενοφάνης[k]) δὲ ὁ Κολοφώνιος γῆν καὶ ὕδωρ, Οἰνοπίδης[l]) δὲ ὁ Χῖος πῦρ καὶ ἀέρα, Ἵππων[m]) δὲ ὁ Ῥηγῖνος πῦρ καὶ ὕδωρ, Ὀνομάκριτος

principium, Thales Milesius aquam, Anaximander huius auditor infinitum, Anaximenes et Diogenes Apolloniates aërem, Hippasus autem Metapontinus ignem, at Xenophanes Colophonius terram et aquam, Oenopides Chius ignem et aërem, Hippon Rheginus ignem et aquam, Onomacritus vero in Orphicis

---

ἕνα quod ad Adamum vir ille doctus refert. alia Menagius notis ad Laërtii lib. 1 c. 119. fallitur etiam Achilles Tatius c. 3 Isagoges in Aratum qui Pherecydem ait idem sensisse cum Thalete et aquam omnium rerum principium constituisse.

e) Θάλης] Origenes in Philosophumenis cap. 1 de Thalete: οὗτος ἔφη ἀρχὴν τοῦ παντὸς εἶναι καὶ τέλος τὸ ὕδωρ· ἐκ γὰρ αὐτοῦ τὰ πάντα συνίστασθαι πηγνυμένου καὶ πάλιν διεμένου, ἐπιφέρεσθαί τε αὐτῷ τὰ πάντα, ad quem locum vide si placet quae annotavit doctissimus collega et amicus noster Io. Christophorus Wolfius. conferri etiam potest Vitruvius lib. 8 praefat. Heraclitus in allegoriis Homericis.

f) Ἀναξίμανδρος] s. Irenaeus 2 19 *Anaximander hoc quod immensum est omnium initium subiecit, seminaliter habens in semet ipso omnium genesin, ex quo immensos mundos constare ait.* plura viri docti ad Laërtium lib. 2 c. 1, ex quibus disces etiam Anaximandrum Milesium Milesii Thaletis non modo auditorem sive ut Cicero vocat sodalem, sed διάδοχον quoque ac successorem fuisse.

g) Ἀναξιμένης] Plutarchus lib. 1 de placitis Philosophor. c. 3, Iustinus Martyr paraenetico ad Graecos, Clemens Alex. Protreptico p. 42, Cicero Lucullo c. 37 *Thales unus e septem, cui sex reliquos consensisse primos ferunt, ex aqua dixit constare omnia. at hoc Anaximandro populari et sodali suo non persuasit; is enim infinitatem naturae dixit esse e qua gigneretur. post eius auditor Anaximenes infinitum aëra, sed ea quae ex eo orirentur definita*, adde lib. 2 de natura Deorum c. 10 et Desiderium Heraldum lib. 2 Adversariorum cap. 12 et 13, observationes selectas Hallenses 2 19.

h) Διογένης] Anaximenem praeceptorem suum secutus, ut praeter scriptores viris doctis ad Laërtium 9 57 laudatos notant noster infra 1 contra Physicos et Simplicius in 3 Physicor. Stobaeus Eclog. Physic. c. 13 p. 27. ambos respicit Claudianus in consulatum Mallii Theodori vers. 71

Namque aliis princeps rerum disponitur aër,
hic confidit aquis, hic procreat omnia flammis.

i) Ἵππασος] Stobaeus loco laudato: Ἡράκλειτος καὶ Ἵππασος ἀρχὴν τῶν ἁπάντων τὸ πῦρ, πρῶτον μὲν γὰρ τὸ παχυμερέστερον εἰς αὐτὸ συστελλόμενον γίγνεται γῆ, ἔπειτα ἀναχαλωμένην τὴν ὑπὸ πυρὸς φύσει ὕδωρ ἀποτελεῖσθαι, ἀναθυμιώμενον δὲ ἀέρα γίγνεσθαι, πάλιν δὲ κόσμον καὶ τὰ σώματα πάντα ὑπὸ τοῦ πυρὸς ἀναλοῦσθαι ἐν τῇ ἐκπυρώσει. eadem ex Plutarcho Eusebius 14 14 de Praeparat. Evangel. apud Galenum t. 4 edit. Basil. male Ἱππείας ὁ Μεταπόντιος pro Ἵππασος ὁ Μεταποντῖνος.

k) Ξενοφάνης] exstat eius versus: πάντες γὰρ γαίης τε καὶ ὕδατος ἐκγενόμεσθα, quem laudat noster 1 contra Physicos sect. 361, quamquam Laërtius 9 19 scribit eum quattuor rerum στοιχεῖα sive elementa admisisse.

l) Οἰνοπίδης] idem testatur Sextus loco libri adversus Physicos laudato. de Oenopide ipso astronomo insigni atque inter Pythagoricos celebratissimo dixi lib. 2 Bibliothecae Graecae capite 13. apud Galenum loco laudato male Οἰνοπίων.

m) Ἵππων] Alexander Aphrodiseus in 1 Metaphys. p. 12 *Hippon fer-*

δὲ ἐν τοῖς Ὀρφικοῖς n) πῦρ καὶ ὕδωρ καὶ γῆν· οἱ δὲ περὶ τὸν Ἐμπεδοκλέα o) πρὸς τοῖς Στωϊκοῖς p) πῦρ ἀέρα ὕδωρ γῆν — περὶ γὰρ τῆς τερατολογουμένης ἀποίου παρά τισιν ὕλης q), ἣν οὐδὲ αὐτοὶ καταλαμβάνειν διαβεβαιοῦνται, τί δεῖ καὶ λέγειν; — οἱ δὲ περὶ Ἀριστοτέλη r) τὸν Περιπατητικὸν πῦρ ἀέρα ὕδωρ γῆν P 130 31

ignem et aquam et terram. 31. Empedocles autem et Stoici ignem aërem aquam terram — nam de materia qualitatis experte quae a nonnullis prodigioso quodam modo fingitur, quam ne ipsi quidem comprehendere se inquiunt, quid attinet verba facere? — Aristoteles autem Peripateticus ignem

---

tur posuisse pro principio simpliciter humidum τὸ ὑγρὸν indeterminate, non explicans aquane sit, ut Thales, an aër ut Anaximenes et Diogenes. aquam habuisse pro principio scribit etiam Simplicius in 1 Phys. pluribus locis, et Hermias ὕδωρ γονοποιόν. auctor historiae philosophicae quae inter Galeni opera legitur: Ἵππων ὁ Ῥηγῖνος πῦρ καὶ ὕδωρ. eadem noster 1 contra Physicos. Origenes in Philosophumenis: Ἵππων ὁ Ῥηγῖνος ἀρχὰς ἔφη ψυχρὸν τὸ ὕδωρ καὶ θερμὸν τὸ πῦρ. fallitur igitur auctor allegoriarum in Theogoniam Hesiodi scribens terram ab Hippone pro primo principio habitam. ὁ μὲν τὸ πῦρ τιθεὶς πρεσβυγενέστερον τῶν ἄλλων, ὁποῖος Ἡράκλειτος, ὁ δὲ τὴν γῆν, ὡς Ἵππων ὁ ἄθεος. auctorem hunc sequitur Gassendus t. 1 Opp. et Hallenses t. 2 Observat. Aristoteles vero hanc sententiam quae ut Lucretii verbis utar terram putat *creare omnia et in rerum naturae vertier omnes*, tribuit non Hipponi, sed Hesiodo, vetustamque et a vulgo receptam notat lib. 1 Metaphysicor. cap. 7.

n) Ὀνομάκριτος ἐν τοῖς Ὀρφικοῖς] spectant huc versus quos sub Orphei nomine laudat Clemens Alex. 6 Strom. p. 624 P 130

Ἔστιν ὕδωρ ψυχῇ, θάνατος δ' ὑδάτεσσιν ἀμοιβή,
ἐκ δ' ὕδατος γαίη, τὸ δὲ ἐκ γαίης πάλιν ὕδωρ,
ἐκ τοῦ δὲ ψυχὴ ὅλον αἰθέρα ἀλλάσσουσα.

Onomacritus hic est Atheniensis χρησμολόγος quem ab Hipparcho Pisistrati filio Athenis eiectum scribit Herodotus 7 6, quod Musaei χρησμοῖς versus quosdam inseruisset. similiter sub Orphei nomine etiam vulgasse poëmata tradit idem Clemens 1 Strom. p. 332 καὶ μὴν Ὀνομάκριτος ὁ Ἀθηναῖος οὗ τὰ εἰς Ὀρφέα φερόμενα ποιήματα λέγεται εἶναι.

o) οἱ δὲ περὶ τὸν Ἐμπεδοκλέα] versus Empedoclis vide si placet in Sexti libro 1 adversus Physicos sect. 362, quibus hosce alios Clementis lib. 6 Strom. p. 624 magis etiam perspicuos adiunges:

Τέσσαρα τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε,
πῦρ καὶ ὕδωρ καὶ γαῖαν ἰδ' αἰθέρος ἄπλετον ὕψος,
ἐκ γὰρ τῶν, ὅσα τ' ἦν, ὅσα τ' ἔσσεται, ὅσσα τ' ἔασιν.

p) πρὸς τοῖς Στωϊκοῖς] vide Laërtium 7 136. Achilles Tatius: καλῶς ἂν ἔχοι πείθεσθαι τῷ Χρυσίππῳ φήσαντι, ἐκ τῶν τεσσάρων στοιχείων τὴν σύστασιν τῶν ὅλων γεγονέναι.

q) ἀποίου ὕλης] est hoc etiam dogma quorumdam Stoicorum qui ante quattuor elementa ponebant materiam informem ex qua fuerint illa a deo producta. idem Tatius: Ζήνων ὁ Κιτιεὺς ἀρχὴν εἶναι λέγει τῶν ὅλων θεὸν καὶ ὕλην, ἀφ' ὧν τὰ τέσσαρα στοιχεῖα γεγονέναι. hinc explicanda illa Laërtii 7 137 τὰ δὴ τέτταρα στοιχεῖα εἶναι ὁμοῦ τὴν ἄποιον οὐσίαν τὴν ὕλην. confer quae de Stoicorum materia prima Lipsius lib. 2 Physiolog. diss. 2 et de quattuor elementis diss. 11.

r) Ἀριστοτέλη] ita mss et hoc loco et lib. 1 contra Matth. sect. 2 pro Ἀριστοτέλην quod est Atticum. nota etiam Aristotelem ipsum Peripateticum dici a quo Peripatetici nomen tulerunt. Laërtius 5 2 de Aristotele ἐλθόντα δὴ αὐτὸν καὶ θεασάμενον ὑπ' ἄλλῳ τὴν σχολὴν ἑλέσθαι περίπατον τὸν ἐν Λυκείῳ καὶ μέχρι μὲν ἀλείμματος ἀνακάμπτοντα τοῖς μαθηταῖς συμφιλοσοφεῖν, ὅθεν περιπατητικὸν προσαγορευθῆναι.

32 τὸ κυκλοφορητικὸν [s]) σῶμα, Δημόκριτος δὲ καὶ Ἐπίκουρος [t]) ἀτόμους, Ἀναξαγόρας [u]) δὲ ὁ Κλαζομένιος ὁμοιομερείας, Διόδωρος [x]) δὲ ἐπικληθεὶς Κρόνος ἐλάχιστα καὶ ἀμερῆ σώματα, Ἡρακλείδης [y]) δὲ ὁ Ποντικὸς καὶ Ἀσκληπιάδης ὁ Βιθυνὸς [z]) ἀνάρμους

aërem aquam terram et in orbem versatile corpus, 32. Democritus autem et Epicurus atomos, Anaxagoras Clazomenius homoeomerias, Diodorus qui vocatus fuit Cronus minima et insecabilia corpora, Heraclides Ponticus et Asclepiades Bithynus incompositas moles, Pythagoras numeros, Mathematici

---

s) κυκλοφορητικὸν] idem Laërtius 5 32. confer Aristotelem ipsum libro 3 de Coelo. haec est quinta essentia in Peripateticorum scholis decantata σῶμα αἰθέριον ἀμετάβλητον, Plutarch. lib. 1 c. 3 de placitis Physicorum. vide Cotelerium ad Clementis recognitiones 8 15.

t) Δημόκριτος δὲ καὶ Ἐπίκουρος] neque hi ambo plane inter se consensere circa atomorum quibus omnia constare volebant naturam; nam Epicurus omnes minimas atomos, Democritus nonnullas saltem maiores statuebat, ut notat Didymus apud Eusebium 14 23 Praepar. Democritus ut vel ex Augustini epistola 56 (edit. nov. 118.) ad Dioscorum constat, docuit atomos animatas quae interno impulsu se ipsas agerent et quasi verbere caeco concitarent, Epicurus motum atomorum ab externa aliarum incursione suspendit, nisi quod tribuit illis quandoque declinationem. omitto alia quae videri possunt in Rad. Cudworthi systemate intellectuali Universi, qui veterum philosophorum placita de atomis, corporum principiis, diligentissime excussit, atque in Petri Gassendi commentariis ad Epicuri philosophiam. atomos *corpusculorum* nomine primus expressit C. Amafanius Epicureus, quem primum de philosophia latine scripsisse testatur Cicero 1 Academ. quaest. cap. 2 et lib. 4 Tusculan. quaest. cap. 3.

u) Ἀναξαγόρας] eius ὁμοιομερῆ στοιχεῖα sive elementa tot quot sunt res, confutat Aristoteles 3 4 de Coelo, lib. 1 Physic. c. 4 et lib 1 Metaphys. c. 7 et Lucretius lib. 1 vers. 830 seq. ad quem vide quae viri docti, quemadmodum et ad Laërtii 2 8 et ad Origenis Philosophumena amicus et collega noster coniunctissimus Io. Christophorus Wolfius. homogenea Anaxagorae elementa Chalcidius p. 291 vertit *eadem similia*, Rufinus *aequalitates partium*, satis obscure, in Clementis recognitionibus 8 15.

x) Διόδωρος] Eusebius p. 773 Praeparat. Evangel. Stobaeus in eclogis Physicis p. 28, Clemens 8 15 recognitionum, Chalcidius p 291 et noster infra lib. 1 adversus Physicos. nihil autem aliud fuere Diodori haec ἐλάχιστα et ἀμερῆ σώματα quam atomi Epicuri, quemadmodum nec Ecphanti Syracusani Pythagorici ἀδιαίρετα σώματα apud Stobaeum, vel Xenocratis μεγέθη ἀδιαίρετα de quibus Cudworthus in libro laudato p. 16. Empedoclis θραύσματα ἐλάχιστα priora elementis, Heracliti ψυγμάτια ἐλάχιστα καὶ ἀμερῆ (apud Plutarchum lib. 1 de Placitis c. 13, Platonis γόμφοι sive cuneoli de quibus Chalcidius p. 291.)

y) Ἡρακλείδης] Dionysius Alex. apud Eusebium 14 23 Praeparat. Evangel. καὶ τούτων φασὶ τῶν ἀμερῶν ὀνοματοποιὸν Διόδωρον γεγονέναι, ὄνομα δέ φασιν αὐτοῖς ἄλλο Ἡρακλείδης θέμενος ἐκάλεσεν ὄγκους, παρ' οὗ καὶ Ἀσκληπιάδης ὁ ἰατρὸς ἐκληρονόμησεν ὄνομα.) Heraclidis Pontici et Asclepiadis opinionem tangit Sextus etiam 2 contra Physicos sect. 318.

z) Ἀσκληπιάδης ὁ Βιθυνός] medicum intelligit Pompeii tempore clarum Romae, de quo etiam Eusebius iam allato loco. Coelius Aurelianus lib. 1 acutarum passionum c. 14 quod est adversus Asclepiadem: *primordia corporis prima constituerat atomos, corpuscula intellectu sensa, sine ulla qualitate solita atque ex initio comitata, aeternum se moventia, quae suo incursu offensa mutuis ictibus in infinita partium fragmenta solvantur, magnitudine atque schemate differentia, quae rursum eundo sibi*

ὄγκους, οἱ δὲ περὶ Πυθαγόραν [a]) τοὺς ἀριθμοὺς, οἱ δὲ Μαθημα- P 137
τικοὶ [b]) τὰ πέρατα τῶν σωμάτων, Στράτων [c]) δὲ ὁ φυσικὸς τὰς 33
ποιότητας. τοσαύτης τοίνυν καὶ ἔτι πλείονος διαφωνίας γεγενη-
μένης περὶ τῶν ὑλικῶν ἀρχῶν παρ᾽ αὐτοῖς ἤτοι πάσαις συγκα-
ταθησόμεθα ταῖς κειμέναις στάσεσι καὶ ταῖς ἄλλαις [d]) ἤ τισιν.
ἀλλὰ πάσαις μὲν οὐ δυνατόν· οὐ γὰρ δήπου δυνησόμεθα καὶ
τοῖς περὶ Ἀσκληπιάδην συγκατατίθεσθαι θραυστὰ εἶναι τὰ στοι-
χεῖα λέγουσι καὶ ποιά [e]), καὶ τοῖς περὶ Δημόκριτον ἄτομα ταῦτα
εἶναι φάσκουσι καὶ ἄποια, καὶ τοῖς περὶ Ἀναξαγόραν πᾶσαν αἰ-
σθητὴν [f]) ποιότητα περὶ ταῖς ὁμοιομερείαις ἀπολείπουσιν. εἰ δὲ 34

extremitates corporum; at Straton physicus qualitates. 33. quum ergo tanta et maior etiam inter eos de materialibus principiis controversia fuerit, aut omnibus assentiemur discrepantiis quae positae sunt et caeteris quoque aut aliquibus. sed omnibus quidem possibile non est; non enim poterimus et Asclepiadi assentiri, qui dicit elementa frangibilia esse et qualitate certa praedita, et Democrito, qui atoma sive individua haec esse dicit et qualitatis expertia, et Anaxagorae, qui omnem sensibilem qualitatem circa homoeomerias

---

adiecta vel coniuncta omnia faciant sensibilia, vim in semet mutationis habentia aut per magnitudinem sui, aut per multitudinem, aut per schema, aut per ordinem. de hoc Asclepiade multa apud Galenum qui eius ἄναρμα στοιχεῖα et Ἀσκληπιαδείους ὄγκους passim perstringit ac confutat, ut notavi in Bibliotheca Graeca lib. 4 cap. 17. vide etiam sis Sextum nostrum lib. 2 adversus Logicos sect. 220, lib. 1 adversus Phys. sect. 363.

a) οἱ δὲ περὶ Πυθαγόραν] Arnobius adversus gentes lib. 2 p. 48 *qui causam in numeris ponit, non Pythagorae Samio, non Archytae adstipulatur?* plura noster infra cap. 18, ubi dicta, si placet, vide.

b) οἱ Μαθηματικοί] Geometrae quidam. quae autem hoc loco et lib. 1 adversus Physicos sect. 363 τὰ πέρατα τῶν σωμάτων appellat, eadem lib. 2 vocat τὰ ἐπίπεδα σχήματα. auctor recognitionum quae Clementi Romano tribuuntur, lib. 8 cap. 15 *fines*, hoc est constituentes superficierum extrema atomos schemate ac magnitudine differentes. sed iuvat Clementis locum integrum adscribere, cum caeteras etiam plerasque sententias tangat Sexto nostro memoratas: *Graecorum philosophi de principiis mundi quaerentes alius alia incessit via. denique Pythagoras elementa principiorum numeros esse dicit, Callistratus qualitates, Alcmaeon contrarietates, Anaximandrus immensitatem, Anaxagoras aequalitates partium,* P 137 *Epicurus atomos, Diodorus* ἀμερῆ, *hoc est ex his in quibus partes non sunt, Asclepiades* ὄγκους, *quod nos tumores vel elationes possumus dicere,* Geometrae fines, *Democritus ideas, Thales aquam, Parmenides terram, Zenon Empedocles Plato ignem aërem aquam terram. Aristoteles etiam quintum introducit elementum quod* ἀκατονόμαστον, *id est incompellabile nominavit, sine dubio illum indicans, qui in unum quattuor elementa coniungens mundum fecerit.*

c) Στράτων] in iam laudato Clementis loco: *Callistratus qualitates,* ubi non dubito Stratonis nomen pro Callistrato esse reponendum. apud Stobaeum vero in Eclogis Physicis p. 27 Strato dicitur principia naturalia posuisse στοιχεῖα καὶ ψυχρόν, quod frigidum mihi videtur et ineptum. fortasse scripserat Stobaeus στοιχεῖα, θερμὸν καὶ ψυχρόν, hae enim sunt ποιότητες. in historia philosophica Galeno tributa iisdem verbis et eodem ordine quo apud Sextum nostrum legas quae a Democrito ad Stratonem usque rettulit, ut necesse sit illa ex nostro descripta esse.

d) καὶ ταῖς ἄλλαις] ita mss pro ταῖς ὅλαις. ait nempe assentiendum esse non modo his quae rettulit, sed etiam aliis quas omisit referre philosophorum opinionibus. ita legit etiam in codice suo HStephanus, ut ex eius interpretatione apparet.

e) θραυστὰ καὶ ποιά] ita legendum utique pro τοῖα quod habebant editi.

f) αἰσθητήν] mss Savil. αἰσθητικὴν male.

τινα στάσιν τῶν ἄλλων προκρινοῦμεν, ἤτοι ἁπλῶς καὶ ἄνευ ἀπο-
δείξεως προκρινοῦμεν ἢ μετὰ ἀποδείξεως. ἄνευ μὲν οὖν ἀποδεί-
ξεως οὐ συνθησόμεθα· εἰ δὲ μετὰ ἀποδείξεως, ἀληθῆ δεῖ τὴν
ἀπόδειξιν εἶναι. ἀληθὴς δὲ οὐκ ἂν δοθείη μὴ οὐχὶ κεκριμένη
κριτηρίῳ ἀληθεῖ· ἀληθὲς δὲ κριτήριον εἶναι δείκνυται δι' ἀπο-
35 δείξεως κεκριμένης. εἰ τοίνυν, ἵνα μὲν ἡ ἀπόδειξις [g]) ἡ προκρί-
νουσά τινα στάσιν ἀληθὴς εἶναι δειχθῇ, δεῖ τὸ κριτήριον αὐτῆς
ἀποδεδεῖχθαι, ἵνα δὲ τὸ κριτήριον ἀποδειχθῇ, δεῖ τὴν ἀπόδειξιν
αὐτοῦ προκεκρίσθαι, ὁ διάλληλος εὑρίσκεται τρόπος, ὃς οὐκ
ἐάσει προβαίνειν τὸν λόγον, τῆς μὲν ἀποδείξεως ἀεὶ κριτηρίου
δεομένης ἀποδεδειγμένου, τοῦ κριτηρίου δὲ ἀποδείξεως κεκριμέ-
36 νης. εἰ δὲ ἀεὶ τὸ κριτήριον κριτηρίῳ κρίνειν καὶ τὴν ἀπόδειξιν
δι' ἀποδείξεως ἀποδεικνύναι βούλοιτό τις, εἰς ἄπειρον ἐμβληθή-
σεται. εἰ τοίνυν μήτε πάσαις ταῖς περὶ στοιχείων στάσεσι δυνά-
μεθα συγκατατίθεσθαι μήτε τινὶ τούτων, ἐπέχειν προσήκει περὶ
37 αὐτῶν. δυνατὸν μὲν οὖν ἴσως ἐστὶ καὶ διὰ τούτων μόνων ὑπο-
μιμνήσκειν τὴν τῶν στοιχείων καὶ τῶν ὑλικῶν ἀρχῶν ἀκαταλη-
ψίαν. ἵνα δὲ ἀμφιλαφέστερον τοὺς Δογματικοὺς ἐλέγχειν ἔχω-
μεν, ἐνδιατρίψωμεν [h]) συμμέτρως τῷ τόπῳ. καὶ ἐπεὶ πολλαὶ καὶ
σχεδὸν ἄπειροί τινές εἰσιν αἱ περὶ στοιχείων δόξαι, καθὼς
P 138 ὑπεμνήσαμεν, τὸ μὲν πρὸς ἑκάστην λέγειν ἰδικῶς νῦν παραιτησό-
μεθα διὰ τὸν χαρακτῆρα τῆς συγγραφῆς [i])· δυνάμει δὲ πρὸς
πάσας ἀντεροῦμεν. ἐπεὶ γὰρ ἣν ἐάν *) τις εἴπῃ περὶ στοιχείων

relinquit. 34. sin aliquam harum discrepantiarum aliis ex iudicio nostro praeferemus, aut simpliciter et absque demonstratione illam praeferemus aut cum demonstratione. sed nos absque demonstratione non assentiemur, sin demonstrationem afferamus, veram oportet esse demonstrationem. sed vera non concedatur esse, nisi iudicata iudicatorio vero; at iudicatorium verum esse ostenditur per demonstrationem iudicatam. 35. si ergo, ut demonstratio quidem quae anteponit aliquam opinionem ab aliis dissidentem, vera esse ostendatur, oportet iudicatorium eius esse demonstratum; ut autem iudicatorium demonstretur, oportet demonstrationem eius ante iudicatam esse: vitiosus unum mutuo per alterum probandi modus comperitur, qui progredi non sinet orationem, quum demonstratio quidem semper egeat criterio demonstrato, criterium autem demonstratione iudicata. 36. quodsi semper criterium alio criterio sive iudicatorio iudicare et demonstrationem demonstratione demonstrare velit aliquis, ad infinitum compelletur. si ergo neque omnibus controversis opinionibus de elementis possumus assentiri neque alicui harum, de illis assensum retineamus necesse est. 37. et possent quidem fortasse haec sola satis superque esse ad ostendendam elementorum et materialium principiorum incomprehensibilitatem: ut tamen ampliorem refellendi Dogmaticos materiam habeamus, paulisper huic loco immorabimur. et quoniam multae ac propemodum infinitae sunt de elementis opiniones, quemadmodum docuimus, adversus unamquamque disputare sigillatim nunc supersedebimus propter rationem instituti hoc in scripto nobis propositi; quod tamen dicemus, ad omnes refutandas valebit. quoniam enim quamcumque alicuius sectae controversam de

---

g) ἵνα μὲν ἡ ἀπόδειξις] cavillationis genus nostro solenne, vide lib. 2 sect. 183.

h) ἐνδιατρίψομεν] mss Vratislav. ἐνδιατρίψωμεν [quod recepimus.]

P 138 i) διὰ τὸν χαρακτῆρα τῆς συγγραφῆς] qui est brevitati studere, ut iam saepius innuit.

[*) immo ἄν]

στάσιν, ἤτοι ἐπὶ σώματα κατενεχθήσεται ἢ ἐπὶ ἀσώματα, ἀρκεῖν ἡγούμεθα ὑπομνῆσαι ὅτι ἀκατάληπτα μέν ἐστι τὰ σώματα, ἀκατάληπτα δὲ τὰ ἀσώματα· διὰ γὰρ τούτου σαφὲς ἔσται ὅτι καὶ τὰ στοιχεῖα ἔσται ἀκατάληπτα.

ΚΕΦ. ε'.

Εἰ καταληπτὰ τὰ σώματα.

Σῶμα τοίνυν λέγουσιν εἶναί τινες ὃ οἷόν τε ποιεῖν ἢ πάσχειν [k]). ὅσον δὲ ἐπὶ ταύτῃ τῇ ἐπινοίᾳ ἀκατάληπτόν ἐστι τοῦτο· τὸ μὲν γὰρ αἴτιον ἀκατάληπτόν [l]) ἐστι, καθὼς ὑπεμνήσαμεν. μὴ ἔχοντες δὲ εἰπεῖν, εἰ ἔστι τι αἴτιον, οὐδὲ εἰ ἔστι τι πάσχον εἰπεῖν δυνάμεθα· τὸ γὰρ πάσχον πάντως ὑπὸ αἰτίου πάσχει. ἀκαταλήπτου δὲ ὄντος καὶ τοῦ αἰτίου καὶ τοῦ πάσχοντος, διὰ ταῦτα ἀκατάληπτον ἔσται καὶ τὸ σῶμα. τινὲς δὲ σῶμα εἶναι λέγουσι τὸ τριχῇ διαστατὸν [m]) μετὰ ἀντιτυπίας. σημεῖον [n]) μὲν γάρ φασιν οὗ μέρος οὐθέν, γραμμὴν δὲ μῆκος ἀπλατές, ἐπιφάνειαν δὲ μῆκος μετὰ πλάτους. ὅταν δὲ αὐτὴ καὶ βάθος προσλάβῃ καὶ ἀντιτυπίαν [o]), σῶμα εἶναι, περὶ οὗ νῦν ἡμῖν ἐστιν ὁ λόγος, συνεστὼς ἔκ τε μήκους καὶ πλάτους καὶ βάθους καὶ ἀντιτυπίας. 38 39

elementis opinionem protulerit, aut ad corpora deveniet aut incorporea, satis esse existimamus docere incomprehensibilia esse corpora, incomprehensibilia item esse incorporea, per hoc enim etiam elementa fore incomprehensibilia perspicuum erit.

CAP. V.

An comprehensibilia sint corpora.

38. Corpus itaque dicunt esse quidam quod potest agere aut pati. quantum igitur ad hanc notionem, incomprehensibile est ipsum; causa enim incomprehensibilis est, ut docuimus. quum autem dicere nequeamus an aliquid sit causa, nec an sit aliquid quod patiatur dicere possumus. nam quod patitur a causa patiatur necesse est. quum autem etiam causa incomprehensibilis sit, et incomprehensibile id quod patitur, propterea incomprehensibile erit etiam corpus. 39. nonnulli autem corpus esse dicunt quod tres habet dimensiones cum resistendi vi; punctum enim dicunt cuius pars nulla, lineam autem longitudinem latitudine carentem, superficiem vero longitudinem cum latitudine. quum autem haec etiam profunditatem praeterea acceperit et resistendi vim, corpus esse de quo nunc a nobis fit mentio constans ex longitudine et latitudine et profunditate et resistendi vi. 40. sed facilis profecto et

k) ὃ οἷόν τε ποιεῖν ἢ πάσχειν] ut tangere et tangi. vide lib. 1 adversus Physicos sect. 258 et 366, ubi disces hanc definitionem corporis deberi Pythagorae. ex eodem loco manifestum est in editis male hic fuisse: ὃ οἴονται pro ὃ οἷόν τε.

l) αἴτιον ἀκατάληπτον] supra hoc libro sect. 20 seq.

m) τὸ τριχῇ διαστατὸν] Geometris frequentata haec corporis definitio supra lib. 2 sect. 30 et contra Geometras sect. 55. vide et infra sect. 152.

n) σημεῖον] notissimae ex Euclide Geometrarum definitiones.

o) ἀντιτυπίαν] hanc omittit 2 Pyrrhon. sect. 30 et lib. adversus Geometras alicubi, et primo adversus Physicos. debet autem addi necessario, utpote propria corpori, 2 contra Physic. sect. 12, quoniam etiam in spatio inani potest longitudo latitudo et profunditas intelligi, quod tamen corpus non est, quoniam ἀντιτυπίᾳ sive soliditate caret, atque ei

40 εὐμαρὴς*) μέντοι καὶ ὁ πρὸς τούτους λόγος· τὸ γὰρ σῶμα ἤτοι οὐδὲν παρὰ ταῦτα εἶναι λέξουσιν ἢ ἕτερόν τι παρὰ τὴν συνέλευσιν τῶν προειρημένων. καὶ ἔξωθεν μὲν τοῦ μήκους τε καὶ τοῦ πλάτους καὶ τοῦ βάθους καὶ τῆς ἀντιτυπίας οὐδὲν ἂν εἴη τὸ σῶμα. εἰ δὲ ταῦτά ἐστι τὸ σῶμα, ἐὰν δείξῃ τις ὅτι ἀνύπαρκτά ἐστιν, ἀναιροίη ἂν καὶ τὸ σῶμα· τὰ γὰρ ὅλα συναναιρεῖται τοῖς ἑαυτῶν πᾶσι μέρεσι. ποικίλως μὲν οὖν ἔστι ταῦτα ἐλέγ-
P 139 χειν· τὸ δὲ νῦν ἀρκέσει λέγειν ὅτι εἰ ἔστι τὰ πέρατα, ἤτοι
41 γραμμαί εἰσιν ἢ ἐπιφάνειαι ἢ σώματα. εἰ μὲν οὖν ἐπιφάνειάν τινα ἢ γραμμὴν εἶναι λέγοι τις, καὶ τῶν προειρημένων ἕκαστον ἤτοι κατὰ ἰδίαν ὑφεστάναι δύνασθαι λεχθήσεται ἢ μόνον περὶ τοῖς λεγομένοις σώμασι θεωρεῖσθαι. ἀλλὰ καθ' ἑαυτὴν μὲν ὑπάρχουσαν ἤτοι γραμμὴν ἢ ἐπιφάνειαν ὀνειροπολεῖν ἴσως εὔηθες· εἰ δὲ περὶ τοῖς σώμασι θεωρεῖσθαι λέγοιτο μόνον καὶ μὴ καθ' ἑαυτὸ p) ὑφεστάναι τούτων ἕκαστον, πρῶτον μὲν αὐτόθεν δοθήσεται τὸ μὴ ἐξ αὐτῶν γεγονέναι τὰ σώματα· ἐχρῆν γάρ, οἶμαι, ταῦτα πρότερον ὑπόστασιν καθ' ἑαυτὰ ἐσχηκέναι, καὶ οὕ-
42 τως συνελθόντα πεποιηκέναι τὰ σώματα. εἶτα οὐδὲ ἐν τοῖς καλουμένοις σώμασιν ὑφέστηκε. καὶ τοῦτο διὰ πλειόνων μέν ἐστιν ὑπομιμνήσκειν· ἀρκέσει δὲ νῦν q) τὰ ἐκ τῆς ἁφῆς ἀπορούμενα λέγειν. εἰ γὰρ ἅπτεται ἀλλήλων τὰ παρατιθέμενα σώματα, τοῖς πέρασιν αὐτῶν οἷον ταῖς ἐπιφανείαις ψαύει ἀλλήλων. αἱ οὖν ἐπιφάνειαι r) ὅλαι μὲν δι' ὅλων ἀλλήλαις οὐχ ἑνωθήσονται κατὰ

ad hos responsio; nam aut corpus nihil praeter haec esse dicent, aut aliud quiddam praeter concursum supra dictorum. et extra longitudinem quidem et latitudinem et profunditatem et resistendi vim nihil esse possit corpus. si autem haec sunt corpus et ostendat aliquis haec inexistentia esse, etiam corpus tollat necesse est: nam tota sublatis omnibus suis partibus tolluntur. quum autem variis modis haec liceat refellere, in praesentia his contenti erimus, ut dicamus, si sunt extremitates, eas aut lineas esse aut superficies aut corpora. 41. si igitur superficiem aliquam aut lineam esse dicat aliquis, etiam unumquodque supra dictorum aut seorsum subsistere posse dicetur aut solum circa ea quae corpora dicuntur cerni. sed per se quidem exsistentem aut lineam aut superficiem nemo sanae mentis, ut opinor, somniaverit. si autem in corporibus cerni tantum dicantur et per se ipsum non subsistere horum unumquodque, primum quidem ex hoc ipso concedetur corpora ex illis facta non fuisse; oportebat enim, credo, haec prius subsistentiam per se habuisse ac tum demum, quum in unum convenissent, fecisse corpora. 42. praeterea autem ne in iis quidem quae corpora vocantur subsistunt. quod quum pluribus doceri possit, eas quae ex tactu afferri possunt dubitationes proponere satis erit; si enim corpora sibi invicem iuncta a se mutuo tanguntur, extremitatibus suis nimirum superficiebus mutuo tanguntur. ergo superficies totae

---

vicissim εἶξις est per naturam adiuncta, ut notat noster lib. 2 contra Phys. sect. 222. est vero ἀντίτυπον quod tactui quomodocumque resistit et tangi potest, κοινὸν γένος τῶν ἁπτῶν, ut ex Philopono ad Aristotelis secundum de anima Suidas in ἀντιτυπῆσαι. confer infra sect. 45 et adversus Geometras sect. 56 seq.

[*) legebatur εὐμερὴς]

P 139 p) καὶ μὴ καθ' ἑαυτὸ] ita mss recte pro καὶ καθ' ἑαυτό.

q) ἀρκέσει δὲ νῦν] ita mss pro ἀρκέσει δὲ τὰ νῦν.

r) αἱ οὖν ἐπιφάνειαι] conferendus adversus Geometras liber et primus adversus Physicos.

τὴν ἁφήν, ἐπεὶ σύγχυσις ἔσται ἡ ἁφὴ καὶ ὁ χωρισμὸς τῶν ἁπτομένων διασπασμός, ὅπερ οὐ θεωρεῖται. εἰ δὲ ἄλλοις μέρε- 43
σιν ἡ ἐπιφάνεια ἅπτεται τῆς τοῦ παρατιθεμένου αὐτῇ σώματος ἐπιφανείας, ἄλλοις δὲ συνήνωται τῷ σώματι οὗ ἐστι πέρας, οὐκ ἄρα οὐδὲ περὶ σώματι θεωρῆσαι δύναταί τις μῆκος καὶ πλάτος ἀβαθές, ὅθεν οὐδὲ ἐπιφάνειαν. ὁμοίως δὲ καὶ δύο ἐπιφανειῶν (καθ᾽ ὑπόθεσιν) παρατιθεμένων ἀλλήλαις, κατὰ τὰ πέρατα αὐτῶν εἰς ἃ λήγουσι, κατὰ τὸ λεγόμενον αὐτῶν μῆκος εἶναι τουτέστι κατὰ γραμμάς, αἱ γραμμαὶ αὗται, δι᾽ ὧν ἅπτεσθαι λέγονται ἀλλήλων αἱ ἐπιφάνειαι, οὐχ ἑνωθήσονται μὲν ἀλλήλαις, συγχυθεῖεν γὰρ ἄν· εἰ δὲ ἑκάστη αὐτῶν ἄλλοις μὲν μέρεσι τοῖς κατὰ πλάτος ἅπτεται τῆς παρατιθεμένης αὐτῇ γραμμῆς, ἄλλοις δὲ συνήνωται τῇ ἐπιφανείᾳ ἧς ἐστι πέρας, οὐκ ἔσται ἀπλατής· ὅθεν οὐδὲ γραμμή. εἰ δὲ μήτε γραμμή ἐστιν ἐν σώματι μήτε ἐπιφάνεια, οὐδὲ μῆκος ἢ πλάτος ἢ βάθος ἔσται ἐν σώματι. εἰ 44
δέ τις σώματα εἶναι τὰ πέρατα λέγοι, σύντομος ἔσται ἡ πρὸς αὐτὸν ἀπόκρισις· εἰ γὰρ τὸ μῆκος σῶμά ἐστιν, δεήσει τοῦτο εἰς τὰς τρεῖς αὐτοῦ μερίζεσθαι διαστάσεις, ὧν ἑκάστη σῶμα οὖσα πάλιν αὐτὴ διαιρεθήσεται εἰς διαστάσεις ἄλλας τρεῖς, αἳ ἔσονται σώματα, καὶ ἐκεῖναι εἰς ἄλλας ὁμοίως, καὶ τοῦτο μέχρις ἀπείρου, ὡς ἀπειρομέγεθες γίνεσθαι τὸ σῶμα εἰς ἄπειρα μεριζόμενον, ὅπερ ἄτοπον. οὐδὲ σώματα ἄρα [5]) εἰσὶν αἱ προειρημέναι διαστάσεις. P 140
εἰ δὲ μήτε σώματά εἰσι μήτε γραμμαὶ ἢ ἐπιφάνειαι, οὐδὲ εἶναι νομισθήσονται. ἀκατάληπτος δέ ἐστι καὶ ἡ ἀντιτυπία. αὕτη γάρ, 45
εἴπερ καταλαμβάνεται, ἁφῇ καταλαμβάνοιτο ἄν. ἐὰν οὖν δείξωμεν ὅτι ἀκατάληπτός ἐστιν ἡ ἁφή, σαφὲς ἔσται ὅτι οὐχ οἷόν

per totum sibi mutuo non unientur per illum contactum: alioqui confusio erit iste contactus, et separatio corporum sese tangentium erit divulsio, quod non cernitur. 43. at si superficies aliis partibus tangit superficiem corporis quod ipsi apponitur, aliis autem unita est cum corpore cuius est extremitas, nequaquam certe potest quisquam ne in corpore quidem cernere longitudinem et latitudinem profunditatis expertem; unde ne superficiem quidem. eodem etiam modo si duae superficies (ut hoc supponamus) sibi mutuo iungantur, per extremitates earum in quas desinunt secundum eam quam aiunt earum esse longitudinem, id est secundum lineas, lineae hae per quas superficies tangere se mutuo dicuntur, ne unientur quidem aliae cum aliis; confunderentur enim: sin vero unaquaeque earum aliis quidem partibus quae sunt secundum latitudinem, tangit ipsi appositam lineam, aliis autem unita est cum superficie cuius est extremitas, non erit latitudinis expers. unde ne linea quidem fuerit. quodsi neque linea est in corpore neque superficies, ne longitudo quidem aut latitudo aut profunditas erit in corpore. 44. quodsi quis dicat quod extremitates hae sint corpora, paucis illi responderi poterit; si enim longitudo corpus est, oportebit ipsam in suas tres dimensiones dividi, quarum unaquaeque corpus existens rursum ipsa dividetur in alias tres dimensiones, quae erunt corpora, et illae in alias itidem et hoc usque in infinitum: adeo ut infinitae magnitudinis sit corpus, utpote quod in infinita dividatur. at hoc absurdum est. ergo ne corpora quidem sunt supradictae diastases. quodsi neque corpora sunt neque lineae aut superficies, ne esse quidem existimabuntur. 45. incomprehensibilis vero est etiam resistendi vis quae dicitur esse in corporibus; nam si haec comprehendatur, tactu comprehendi debeat. si igitur ostenderimus incomprehensibilem esse tactum, non posse

5) οὐδὲ σώματα ἄρα] ita recte mss pro σώματι. P 140

τέ ἐστι καταλαμβάνεσθαι τὴν ἀντιτυπίαν. ὅτι δὲ ἀκατάληπτός ἐστιν ἡ ἁφή, διὰ τούτων ἐπιλογιζόμεθα· τὰ ἁπτόμενα ἀλλήλων ἤτοι μέρεσιν[t]) ἀλλήλων ἅπτεται, ἢ ὅλα ὅλων. ὅλα μὲν οὖν ὅλων οὐδαμῶς· ἑνωθήσεται[u]) γὰρ οὕτω καὶ οὐχ ἅψεται ἀλλήλων. ἀλλ' οὐδὲ μέρεσι μερῶν· τὰ γὰρ μέρη αὐτῶν ὡς μὲν πρὸς τὰ ὅλα μέρη ἐστίν, ὡς δὲ πρὸς τὰ μέρη ἑαυτῶν ὅλα. ταῦτα οὖν
46 τὰ ὅλα ἐστὶν ἑτέρων μέρη. ὅλα μὲν ὅλων οὐχ ἅψεται διὰ τὰ προειρημένα· ἀλλ' οὐδὲ μέρεσι μερῶν. καὶ γὰρ τὰ τούτων μέρη ὡς πρὸς τὰ ἑαυτῶν μέρη ὅλα ὄντα οὔτε ὅλα ὅλων ἅψεται οὔτε μέρεσι μερῶν. εἰ δὲ μήτε κατὰ ὁλότητα μήτε κατὰ μέρη[x]) γινομένην ἁφὴν καταλαμβάνομεν, ἀκατάληπτος ἔσται ἡ ἁφή. διὰ δὲ τοῦτο καὶ ἡ ἀντιτυπία, ὅθεν καὶ τὸ σῶμα. εἰ γὰρ οὐδέν ἐστι τοῦτο παρὰ τὰς τρεῖς διαστάσεις, καὶ τὴν ἀντιτυπίαν· ἐδείξαμεν δὲ ἀκατάληπτον τούτων ἕκαστον. καὶ τὸ σῶμα ἔσται ἀκατάληπτον. οὕτω μὲν οὖν ὅσον ἐπὶ τῇ ἐννοίᾳ τοῦ σώματος
47 ἀκατάληπτόν ἐστιν, εἰ ἔστι τι σῶμα. λεκτέον δὲ καὶ τοῦτο εἰς τὸ προκείμενον· τῶν ὄντων τὰ μέν φασιν εἶναι αἰσθητὰ τὰ δὲ νοητά, καὶ τὰ μὲν τῇ διανοίᾳ καταλαμβάνεσθαι τὰ δὲ ταῖς αἰσθήσεσι· καὶ τὰς μὲν αἰσθήσεις ἁπλοπαθείας[y]) εἶναι, τὴν δὲ

comprehendi resistendi vim perspicuum fuerit. tactum autem esse incomprehensibilem, ita ratiocinando colligimus: quae se mutuo tangunt, aut partibus alia tanguntur ab aliis, aut tota a totis. tota certe a totis nequaquam, alioqui enim unientur, non se invicem modo tangent, sed ne partibus quidem partes; nam partes eorum ut quidem ad tota, partes sunt, ut autem ad partes suas, tota. haec igitur tota sunt aliorum partes. 46. et tota quidem non tangent tota propter ea quae dicta sunt, sed neque partibus partes; nam horum partes ad suas partes consideratae tota quum sint, neque totae tangent totas neque partibus partes. quodsi neque secundum totum neque secundum partes fieri tactum comprehendimus, incomprehensibilis erit tactus, ideoque etiam resistendi vis in corpore unde et corpus. si enim nihil est illud praeter tres illas dimensiones et resistendi vim, ostendimus autem unumquodque horum esse incomprehensibile, corpus quoque erit incomprehensibile. sic ergo, quantum ad notionem corporis, incomprehensibile est an sit corpus. 47. sed et hoc proposito nostro addendum est: entium alia dicunt esse sensibilia, alia intelligibilia; et haec quidem intellectu, illa sensibus comprehendi; et sensus quidem esse simpliciter passibiles: at vero intellectum a sensibilium

---

t) ἤτοι μέρεσιν] eadem cavillatio contra Geometras et lib. 1 contra Physicos sect. 259 seq.

u) ἑνωθήσεται] sic supra sect. 43 in consimili argumento: συνήνωται. male in editis ἑνωθήσεται.

x) κατὰ μέρη] ms Vratislav. una voce καταμέρη. vide si placet quae notavi supra lib. 2 sect. 159.

y) τὰς μὲν αἰσθήσεις ἁπλοπαθείας] aliud est lib. 2 sect. 49 κενοπαθεῖν τὰς αἰσθήσεις, aliud vero quod infra etiam sect. 47 repetit, sensus esse ἁπλοπαθεῖς. per κενοπαθεῖν non modo innuitur sensum fieri per passionem, sed et quicquid sensibus se offert αὐτὸ καθ' αὐτὸ μηδὲν εἶναι, ut ait Plato in Theaeteto, verum illam passionem esse inanem falsamque, et sola specie ac relatione absolvi: at enim ἁπλοπαθεῖς qui sensus appellat, tantum ait simplici passione sive incursu rerum sensibilium κατὰ ἐπέρεισιν καὶ νύξιν τῶν αἰσθητῶν, infra sect. 51 non actione mentis sensum constare. ita Stoicis αἴσθησις, ἀντίληψις αἰσθητηρίου ἢ κατάληψις. Plutarch. 4 8 de placitis philosophor.

διάνοιαν ἀπὸ τῆς τῶν αἰσθητῶν z) καταλήψεως ἐπὶ τὴν κατά-
ληψιν τῶν νοητῶν ἰέναι. εἰ οὖν ἔστι τὶ σῶμα, ἤτοι αἰσθητόν
ἐστιν ἢ νοητόν. καὶ αἰσθητὸν μὲν οὐκ ἔστι· κατὰ γὰρ συν-
αθροισμὸν μήκους καὶ βάθους καὶ πλάτους καὶ ἀντιτυπίας καὶ
χρώματος καὶ ἄλλων τινῶν καταλαμβάνεσθαι δοκεῖ σὺν οἷς
θεωρεῖται, αἱ δὲ αἰσθήσεις ἁπλοπαθεῖς εἶναι λέγονται παρ' αὐ-
τοῖς. εἰ δὲ νοητὸν εἶναι λέγεται τὸ σῶμα, δεῖ τι πάντως ὑπάρ- 48
χειν ἐν τῇ φύσει τῶν πραγμάτων αἰσθητῶν, ἀφ' οὗ ἡ τῶν
σωμάτων νοητῶν ὄντων ἔσται νόησις. οὐδὲν δὲ ἔστι παρὰ τὸ P 141
σῶμα καὶ τὸ ἀσώματον, ὧν τὸ μὲν ἀσώματον αὐτόθεν νοητόν
ἐστι, τὸ δὲ σῶμα οὐκ αἰσθητόν, ὡς ὑπεμνήσαμεν. μὴ ὄντος
οὖν ἐν τῇ φύσει τῶν πραγμάτων αἰσθητοῦ τινος, ἀφ' οὗ ἡ
νόησις ἔσται τοῦ σώματος, οὐδὲ νοητὸν ἔσται τὸ σῶμα. εἰ δὲ
μήτε αἰσθητόν ἐστι μήτε νοητόν, παρὰ δὲ ταῦτα οὐδέν ἐστι, λεκτέον
ὅσον ἐπὶ τῷ λόγῳ a) μηδὲ εἶναι τὸ σῶμα. διὰ ταῦτα οὖν ἡμεῖς ἀντι- 49
τιθέντες τοὺς κατὰ τοῦ σώματος λόγους, τῷ φαίνεσθαι δοκεῖν ὑπάρ-
χον τὸ σῶμα συνάγομεν τὴν περὶ τοῦ σώματος ἐποχήν. τῇ δὲ τοῦ
σώματος ἀκαταληψίᾳ συνεισάγεται καὶ τὸ ἀκατάληπτον εἶναι τὸ
ἀσώματον· αἱ γὰρ στερήσεις τῶν ἕξεων νοοῦνται στερήσεις, οἷον
ὁράσεως τυφλότης, καὶ ἀκοῆς κωφότης, καὶ ἐπὶ τῶν ἄλλων
παραπλησίως. διόπερ ἵνα στέρησιν καταλάβωμεν, δεῖ τὴν ἕξιν
ἡμᾶς προκατειληφέναι ἧς λέγεται στέρησις εἶναι ἡ στέρησις. ἀνεν-
νόητος γάρ τις ὢν τῆς ὁράσεως οὐκ ἂν δύναιτο λέγειν ὅτι ὅρα-
σιν ὅδε οὐκ ἔχει, ὅπερ ἐστὶ τὸ τυφλὸν εἶναι. εἰ οὖν στέρησις 50
σώματός ἐστι τὸ ἀσώματον, τῶν δὲ ἕξεων μὴ καταλαμβανομέ-

comprehensione ad intelligibilium comprehensionem venire. si quid igitur est corpus, aut sensibile est aut intelligibile. et sensibile quidem non est, nam per collectionem longitudinis et profunditatis et latitudinis et facultatis resistendi et coloris et aliorum quorundam comprehendi videtur, cum quibus ipsum contemplamur. at sensus dicuntur apud ipsos esse simplices passiones. 48. quodsi intelligibile esse dicitur corpus, oportet necessario esse aliquid in natura rerum sensibilium, a quo corporum intelligibilium erit intelligentia. at vero nihil est praeter corpus et incorporeum, ex quibus incorporeum quidem in se intelligibile est, at corpus non est sensile, ut iam docuimus. quum igitur non sit in natura rerum sensile quicquam a quo intelligentia esse possit corporis, ne intelligibile quidem erit corpus. quodsi neque sensile sit neque intelligibile, praeter haec autem nihil est, quatenus sequemur dictas rationes, ne esse quidem corpus dicendum est. 49. propterea igitur nos opponentes has rationes quae adversus corpus pugnant ei quod corpus apparere sensibus videtur, de corpore retinendum esse assensum colligimus. porro ex corporis incomprehensibilitate etiam incorporei concluditur incomprehensibilitas: nam privationes habituum privationes intelliguntur, ut visus caecitas et auditus surditas, et in aliis eodem modo. itaque ut privationem comprehendamus, oportet nos prius habitum comprehendisse, cuius privatio dicitur esse ipsa privatio. nam si quis intellectu visum non perceperit, dicere nequeat hunc vel illum visu carere, id est caecum esse. 50. si igitur privatio corporis est incorporeum, nisi vero habitus comprehendantur, impossibile

---

z) ἀπὸ τῆς τῶν αἰσθητῶν] vide lib. 2 contra Logicos, Laërtium 7 52, infra sect. 50.

a) ὅσον ἐπὶ τῷ λόγῳ] infra sect. 62 ὅσον ἐπὶ τούτῳ τῷ λόγῳ. sic sect. P 141
38 ὅσον ἐπὶ ταύτῃ τῇ ἐπινοίᾳ.

νῶν ἀδύνατον τὰς στερήσεις αὐτῶν καταλαμβάνεσθαι, καὶ δέ-
δεικται ὅτι τὸ σῶμα ἀκατάληπτόν ἐστιν, ἀκατάληπτον ἔσται καὶ
τὸ ἀσώματον. καὶ γὰρ ἤτοι αἰσθητόν ἐστιν ἢ νοητόν· εἴτε δὲ
αἰσθητόν ἐστιν, ἀκατάληπτόν ἐστι διὰ τὴν διαφορὰν τῶν ζῴων
καὶ τῶν ἀνθρώπων καὶ τῶν αἰσθήσεων καὶ τῶν περιστάσεων
καὶ παρὰ τὰς ἐπιμιξίας καὶ τὰ λοιπὰ τῶν προειρημένων ἡμῖν ἐν
τοῖς περὶ τῶν δέκα τρόπων [b])· εἴτε νοητόν, μὴ διδομένης αὐτόθεν
τῆς τῶν αἰσθητῶν καταλήψεως, ἀφ' ἧς ὁρμώμενοι τοῖς νοητοῖς
ἐπιβάλλειν δοκοῦμεν, οὐδὲ ἡ τῶν νοητῶν αὐτόθεν κατάληψις
51 δοθήσεται, διόπερ οὐδὲ ἡ τοῦ ἀσωμάτου. ὅ τε φάσκων κατα-
λαμβάνειν τὸ ἀσώματον, ἤτοι αἰσθήσει τοῦτο παραστήσει κατα-
λαμβάνειν ἢ διὰ λόγου. καὶ αἰσθήσει μὲν οὐδαμῶς, ἐπειδὴ αἱ
μὲν αἰσθήσεις κατὰ ἐπέρεισιν καὶ νύξιν [c]) ἀντιλαμβάνεσθαι δο-
κοῦσι τῶν αἰσθητῶν· οἷον ἡ ὅρασις ἐάν τε κατὰ ἔνστασιν γέ-
νηται κώνου [d]) ἐάν τε κατὰ εἰδώλων ἀποκρίσεις τε καὶ ἐπικρί-
P 142 σεις [e]) ἐάν τε ἀκτίνων ἢ χρωμάτων ἀποχύσεις [f]) καὶ ἡ ἀκοὴ δὲ
ἤν τε ὁ πεπληγμένος ἀὴρ [g]) ἤν τε τὰ μόρια τῆς φωνῆς φέρηται

est privationes eorum comprehendi; ostensum est autem corpus incomprehensibile esse: incomprehensibile certe erit etiam incorporeum. nam aut sensu aut intellectu perceptibile est. sive autem sensu perceptibile sit, comprehendi nequit propter differentiam animalium et hominum et sensuum et circumstantiarum et propter commistiones et reliqua quae a nobis, quum de decem modis dubitationis tractaremus, dicta sunt. sive intellectu perceptibile, quum non concedatur sensuum ex se ipsis comprehensio, a qua progressi ad intellectu perceptibilia appellere animum videmur, ne ipsa quidem intellectu perceptibilium comprehensio ex se ipsa concedetur; propterea nec incorporei comprehensio. 51. et qui dicit se incorporeum comprehendere, aut sensu hoc se comprehendere ostendet aut ratione. et sensu profecto minime, quia sensus quidem per impressionem et punctionem videntur sensibilia percipere. ut visus, sive fiat per intentum conum radiorum oculi sive per imaginum e subiectis defluxus et influxus sive per radiorum aut colorum defluxiones, et auditus quoque, sive percussus aer sive partes vocis deferantur ad aures

b) *περὶ τῶν δέκα τρόπων*] respicit decem locos communes argumentorum Scepticorum, quibus incertum sensuum iudicium esse disputant, explicatos supra lib. 1 sect. 36 seq.

c) *κατὰ ἐπέρεισιν καὶ νύξιν*] per imagines extrinsecus incidentes, ut in visu, vel per tactum et punctionem, ut in caeteris sensibus.

d) *κατὰ ἔνστασιν κώνου*] ita ut vertex coni visionis sit in videntis pupilla, basis lata coni vero in re subiecta radiique ex oculo recta ferantur ad rem quae conspicitur. vide Euclidis, Ptolemaei et Damiani Heliodori Optica. Laërtius ex Stoicorum sententia 7 157 *ὁρᾶν δὲ τοῦ μεταξὺ τῆς ὁράσεως καὶ τοῦ ὑποκειμένου φωτὸς ἐντεινομένου κωνοειδῶς.*

e) *εἰδώλων*] Epicuri haec opinio, qui Democritum secutus *εἴδωλα* sive
P 142 rerum effigies simulacra imagines ac spectra tenuesque figuras a rebus emitti dictitabat. vide quae viri docti ad Lucretium lib. 4 vers. 46 seq. et Gassendum ad Laërtii 10 46 t. 1 de Physiologia Epicuri.

f) *ἀκτίνων ἢ χρωμάτων ἀποχύσεις*] haec sententia plerisque nostra aetate probata philosophis etiam olim multis placuit, ut cognosces e Plutarcho lib. 4 de placitis Philosophor. c. 13; cui similia leguntur apud auctorem historiae philosophicae quae Galeno tribuitur: *Δημόκριτος, Ἐπίκουρος κατὰ εἰδώλων εἰσκρίσεις ᾤοντο τὸ ὁρατικὸν συμβαίνειν. ἕτεροι κατά τινων ἀκτίνων εἴσκρισιν μετὰ τὴν πρὸς τὸ ὑποκείμενον ἔνστασιν πάλιν ὑποστρεφουσῶν πρὸς τὴν ὄψιν.*

g) *ὁ πεπληγμένος ἀὴρ*] Stoici existimabant audire nos aëre moto agi-

περὶ τὰ ὦτα καὶ πλήττῃ*) τὸ ἀκουστικὸν πνεῦμα[h]), ὥστε τὴν ἀντίληψιν τῆς φωνῆς ἀπεργάζεσθαι, ἀλλὰ καὶ αἱ ὀδμαὶ[i]) τῇ ῥινὶ καὶ οἱ χυμοὶ αὐτῇ γλώττῃ προσπίπτουσι, καὶ τὰ τὴν ἁφὴν κινοῦντα ὁμοίως τῇ ἁφῇ. τὰ δὲ ἀσώματα ἐπέρεισιν τοιαύτην 52 ὑπομένειν οὐχ οἷά τέ ἐστιν· ὥστε οὐκ ἂν δύναιτο τῇ αἰσθήσει καταλαμβάνεσθαι. ἀλλ' οὐδὲ διὰ λόγου· εἰ μὲν γὰρ λεκτόν[k]) ἐστιν ὁ λόγος, καὶ ἀσώματος, ὥς οἱ Στωϊκοί φασιν, ὁ λέγων διὰ λόγου καταλαμβάνεσθαι[l]) τὰ ἀσώματα τὸ ζητούμενον συναρπάζει. ζητούντων γὰρ ἡμῶν εἰ δύναταί τι ἀσώματόν τι καταλαμβάνεσθαι, αὐτὸς ἀσώματόν τι λαβὼν ἁπλῶς διὰ τούτου τὴν κατάληψιν τῶν ἀσωμάτων ποιεῖσθαι θέλει. καίτοι αὐτὸς ὁ λόγος, εἴπερ ἀσώματός ἐστι, τῆς τῶν ζητουμένων ἐστὶ μοίρας. πῶς 53 οὖν ἐπιδείξει τις ὅτι πρότερον τοῦτο τὸ ἀσώματον καταλαμβάνεται; φημὶ δὲ τὸν λόγον. εἰ μὲν γὰρ δι' ἄλλου ἀσωμάτου, κἀκείνου ζητήσομεν τὴν ἀπόδειξιν τῆς καταλήψεως καὶ τοῦτο μέχρις ἀπείρου· εἰ δὲ διὰ σώματος, ζητεῖται καὶ περὶ τῆς καταλήψεως τῶν σωμάτων. διὰ τίνος οὖν δείξομεν ὅτι καταλαμβάνεται τὸ σῶμα τὸ εἰς ἀπόδειξιν τῆς καταλήψεως τοῦ ἀσωμάτου λόγου λαμβανόμενον; εἰ μὲν διὰ σώματος, εἰς ἄπειρον ἐμβαλλόμεθα[m])· εἰ δὲ δι' ἀσωμάτου, εἰς τὸν διάλληλον τρόπον ἐκπίπτομεν. μένοντος οὖν οὕτως ἀκαταλήπτου τοῦ λό-

et auditivum spiritum percutiant, adeo ut perceptionem vocis efficiant. sed et odores ad nares et sapores ad linguam deferuntur, et quae tactum movent, eodem modo ad tactum. 52. at vero incorporea talem impressionem sustinere non possunt; itaque sensu comprehendi nequeunt, sed neque ratione; si enim ratio est quod vocant dictum, et incorporea, ut aiunt Stoici, qui dicit ratione comprehendi incorporea, quod in quaestione versatur arripit. nam quum quaeramus an possit aliquid incorporeum comprehendi, ipse aliquid incorporeum arripiens simpliciter per hoc comprehensionem incorporeorum facere vult. atqui et ipsa ratio, si incorporea est, ex numero eorum est de quibus quaeritur. 53. quomodo igitur ostendet quisquam hoc incorporeum videlicet rationem prius comprehendi? nam si per aliud incorporeum, etiam comprehensionis illius demonstrationem quaeremus, et hoc usque in infinitum: quodsi per corpus, atqui etiam de comprehensione corporum quaestio est. per quod igitur comprehendi corpus demonstrabimus, quod ad demonstrandam comprehensionem rationis incorporeae sumitur? si enim dicemus per corpus, ad infinitum compellimur; sin per incorporeum, in vitiosum modum probandi mutuo unum per alterum incidimus. quum ergo ita incomprehensi-

---

tatoque in orbem instar aquae lapide percussae et undulante atque ita influente auribus. vide quae viri docti ad Laërtium 7 158. [num ἦν τε ᾖ ὁ πεπλ.]

[*) legebatur πλήττει]

h) τὸ ἀκουστικὸν πνεῦμα] aërem in aure audientis existentem. Plutarchus 4 16 de placitis Philosophor. Διογένης (Babylonium intellige) τὴν ἀκοὴν γίνεσθαι τοῦ ἐν τῇ κεφαλῇ ἀέρος ὑπὸ τῆς φωνῆς τυπτομένου καὶ κινουμένου· Πλάτων καὶ οἱ ἀπ' αὐτοῦ πλήττεσθαι τὸν ἐν κεφαλῇ ἀέρα, τοῦτον δ' ἀνακλᾶσθαι εἰς τὰ ἡγεμονικὰ καὶ γίνεσθαι τῆς ἀκοῆς τὴν αἴσθησιν.

i) ἀλλὰ καὶ αἱ ὀδμαὶ] articulum e mss revocavi.

k) λεκτόν] vide si placet quae dixi supra ad lib. 2 sect. 81 et 104.

l) καταλαμβάνεσθαι] in editis erat λαμβάνεσθαι.

m) ἐμβαλλόμεθα] ms Vratislav. ἐκβαλλόμεθα.

γου, εἴπερ ἀσώματός ἐστιν, οὐκ ἂν δύναιτό τις λέγειν δι' αὐ-
54 τοῦ καταλαμβάνεσθαι τὸ ἀσώματον. εἰ δὲ σῶμά ἐστιν ὁ λόγος, ἐπεὶ καὶ περὶ τῶν σωμάτων διαπεφώνηται, πότερον καταλαμβάνεται ἢ οὔ, διὰ τὴν λεγομένην συνεχῆ ῥύσιν [n]) αὐτῶν, ὡς μηδὲ τὴν τότε δεῖξιν ἐπιδέχεσθαι, μηδὲ εἶναι νομίζεσθαι, παρ' ὃ καὶ ὁ Πλάτων [o]) γινόμενα μὲν ὄντα δὲ οὐδέποτε, καλεῖ τὰ σώματα, ἀπορῶ πῶς ἐπικριθήσεται ἡ περὶ τοῦ σώματος διαφωνία,
P 143 μήτε σώματι μήτε ἀσωμάτῳ ταύτην ὁρῶν ἐπικρίνεσθαι δυναμένην, διὰ τὰς μικρῷ πρόσθεν εἰρημένας ἀτοπίας. οὐκοῦν οὐδὲ
55 λόγῳ δυνατόν ἐστι καταλαμβάνειν τὰ ἀσώματα. εἰ δὲ μήτε αἰσθήσει ὑποπίπτει μήτε διὰ λόγου καταλαμβάνεται, οὐδ' ἂν ὅλως καταλαμβάνοιτο. εἰ τοίνυν μήτε περὶ τῆς ὑπάρξεως τοῦ σώματος μήτε περὶ τῶν ἀσωμάτων οἷόν τέ ἐστιν διαβεβαιώσασθαι, καὶ περὶ τῶν στοιχείων ἔστιν ἐφεκτέον. τάχα δὲ καὶ περὶ τῶν μετὰ τὰ στοιχεῖα [p]), εἴ γε τούτων τὰ μὲν σώματα τὰ δὲ ἀσώματα, καὶ περὶ ἀμφοτέρων ἠπόρηται. πλὴν ἀλλὰ τῶν τε δραστικῶν ἀρχῶν καὶ τῶν ὑλικῶν διὰ ταῦτα ἐφεκτῶν οὐσῶν, ἄπορός ἐστιν ὁ περὶ ἀρχῶν [q]) λόγος.

bilis maneat ratio, si quidem incorporea est, non possit dicere quisquam per ipsam comprehendi incorporeum. 54. si autem corpus est ratio, quoniam etiam de corporibus controversia est comprehendantur necne propter continuum eorum fluxum quem vocant, adeo ut neque demonstrationem recipiant, nec esse existimentur; unde et Plato vocat corpora quae gignantur quidem, numquam autem sint, quomodo controversia de corpore diiudicari possit, dubito, quum hanc nec corporeo nec incorporeo diiudicare posse videam propter dictas paulo ante dubitationes. ergo ne per rationem quidem corpora comprehendi possunt. 55. at si nec sub sensum cadunt nec ratione comprehenduntur, ne ullo quidem modo comprehendi possint. iam vero si nec de existentia corporis nec de incorporeis affirmari quicquam potest, de elementis etiam retinendus est assensus. fortasse autem de iis etiam quae sunt ultra elementa; siquidem horum alia sunt corporea alia incorporea, et de utrisque motae fuerunt dubitationes. caeterum quum et de principiis effectivis et de materialibus ob has causas retineri assensus debeat, haeret ipsa de principio dubitatio.

---

n) *συνεχῆ ῥύσιν*] Heracliti Protagorae aliorumque philosophorum dogma notissimum *ὕλην ῥευστὴν* et *πάντα ῥεῖν ποταμοῦ δίκην*, materiam in perpetuo fluxu et mutatione versari, sive ut s. Augustini verbis utar *agi et peragi decessione et successione, rapacitate volativa et quodam fluvio rerum non consistentium* Serm. 270 t. 5 p. 765 edit. novae Amst. vide quae viri docti ad Laërtium 9 8 et nostrum in his ipsis libris lib. 1 sect. 217 lib. 3 sect 82 et 115.

o) *παρ' ὃ καὶ ὁ Πλάτων*] Plato in Theaeteto et Timaeo, qui id a Pythagora accepit, ut notatum Numenio apud Eusebium, quem vide lib. 11 cap. 9, 10 et 29 Praeparat. Evangelicae et Cyrillum 1 contra Iulianum p. 23 edit. Lipsiensis.

P 143 p) *περὶ τῶν μετὰ τὰ στοιχεῖα*] uti *τὰ μετὰ τὰ φυσικὰ* dicuntur quae sunt ultra corpora ita *τὰ μετὰ τὰ στοιχεῖα* intellige quae sunt ultra elementa, Plutarcho lib. 1 de placitis Philosophor. c. 13 et 17 et Stobaeo *στοιχεῖα στοιχείων elementa elementorum.*

q) *ὁ περὶ ἀρχῶν*] ita mss pro *ὁ περὶ ἀρχῆς*.

ΚΕΦ. ϛʹ.

Περὶ κράσεως.

Ἵνα δὲ καὶ ταῦτα παραλίπῃ τις, πῶς ἄρα καὶ γίνεσθαί φασι 56
τὰ συγκρίματα ἐκ τῶν πρώτων στοιχείων, μήτε θίξεως καὶ ἁφῆς ὑπαρχούσης μήτε κράσεως ἢ μίξεως ὅλως r)· ὅτι μὲν γὰρ οὐδέν ἐστιν ἡ ἁφή, μικρῷ πρόσθεν s) ὑπέμνησα, ὅτε περὶ τῆς ὑποστάσεως τοῦ σώματος διελεγόμην. ὅτι δὲ οὐδὲ ὁ τρόπος τῆς κράσεως ὅσον ἐπὶ τοῖς λεγομένοις ὑπ' αὐτῶν δυνατός ἐστι, διὰ βραχέων ἐπιστήσω. πολλὰ μὲν γὰρ λέγεται περὶ κράσεως t) καὶ σχεδὸν ἀνήνυτοι περὶ τοῦ προκειμένου σκέμματός εἰσι παρὰ τοῖς Δογματικοῖς στάσεις· ὅθεν εὐθέως ἅμα τῇ ἀνεπικρίτῳ διαφωνίᾳ καὶ τὸ ἀκατάληπτον τοῦ σκέμματος συνάγοιτ' ἄν. ἡμεῖς δὲ νῦν τὴν πρὸς ἕκαστον αὐτῶν ἀντίρρησιν παραιτησάμενοι διὰ τὴν πρόθεσιν τῆς συγγραφῆς u) τάδε λέξειν ἐπὶ τοῦ παρόντος ἀποχρώντως ὑπολαμβάνομεν. τὰ κιρνάμενα ἐξ οὐσίας καὶ ποιοτήτων 57
συγκεῖσθαί φασιν. ἤτοι οὖν τὰς μὲν οὐσίας αὐτῶν μίγνυσθαι φήσει τις, τὰς δὲ ποιότητας μηδαμῶς, ἢ τὰς μὲν ποιότητας ἀναμίγνυσθαι, μηκέτι δὲ τὰς οὐσίας, ἢ μηθ' ἕτερον ἀναμίγνυσθαι θατέρῳ ἢ ἀμφότερα ἑνοῦσθαι ἀλλήλοις. ἀλλ' εἰ μὲν οὔτε αἱ ποιότητες οὔτε αἱ οὐσίαι ἀναμίγνυνται ἀλλήλοις, ἀνεπινόητος ἔσται ἡ κρᾶσις. πῶς γὰρ μία αἴσθησις ἀπὸ τῶν κιρναμένων γίνεσθαι συμβήσεται, εἴ γε κατὰ μηδὲν τῶν προειρημένων μί-

CAP. VI.

De crasi id est temperatione.

56. Verum, ut haec etiam omittantur, quomodo fieri dicunt composita ex primis elementis, si nec tactus aut contactio existat nec temperatio aut commistio ullo modo? nihil enim esse tactum paulo ante docui, quum de subsistentia corporis disputabam. iam vero ne mistionis quidem modum, quantum quidem ad ea attinet quae a Dogmaticis dicuntur, possibilem esse, de hoc breviter considerationem meam proponam. multa enim dicuntur de mistione et immensi propemodum sit laboris enarrare quae sint apud Dogmaticos de illa discrepantiae: unde statim iam ex indiiudicabili controversia etiam incomprehensibilitas ipsius quaestionis inferri possit. nos autem in praesentia unumquodque horum refellere supersedentes propter institutum praesentis nostri scripti haec quae dicemus sufficere posse existimamus. 57. quae miscentur sive componuntur ex substantia et qualitatibus constare dicunt. aut igitur substantias quidem eorum misceri dicet aliquis, qualitates autem nequaquam; aut qualitates quidem, substantias non item; aut neutrum cum altero misceri aut utraque inter se uniri. verum si neque substantiae neque qualitates commiscentur inter se, intellectu percipere mixtionem non poterimus. quomodo enim per unum sensum percipi mixta continget, si per nul-

r) *μήτε κράσεως ἢ μίξεως ὅλως*] latius nostro patet *μίξις* quam *κρᾶσις* infra sect. 62 *ἀνεπινόητος ὁ τρόπος τῆς κράσεως καὶ ὅλως τῆς μίξεώς ἐστι.*

s) *μικρῷ πρόσθεν*] supra sect. 42 seq.

t) *πολλὰ μὲν γὰρ λέγεται περὶ κράσεως*] videndus Alexandri Aphrodisei *περὶ κράσεως καὶ αὐξήσεως* adhuc ineditum in bibl. Vaticana delitescere *περὶ μίξεως* liber utraque lingua editus, praeter quem et alium eiusdem scriptoris iam pridem Gesnerus annotavit. videndus etiam Plutarchus lib. 1 de placitis c. 17 et Stobaeus Eclog. Physic. cap. 20.

u) *διὰ τὴν πρόθεσιν τῆς συγγραφῆς*] quia hoc opere tantum constituit breviter ac summatim praecipua persequi, non ad singula descendere.

P 144 γνυται ἀλλήλοις τὰ κιρνάμενα; εἰ δὲ αἱ μὲν ποιότητες ἁπλῶς
58 παρακεῖσθαι λεχθεῖεν ἀλλήλαις, αἱ δὲ οὐσίαι μίγνυσθαι, καὶ οὕτως ἄτοπον ἂν εἴη τὸ λεγόμενον· οὐ γὰρ κεχωρισμένων τῶν ποιοτήτων τῶν ἐν ταῖς κράσεσιν ἀντιλαμβανόμεθα, ἀλλ' ὡς μιᾶς ἀπὸ τῶν κιρναμένων [x]) ἀποτελουμένης αἰσθανόμεθα. εἰ δὲ τὰς μὲν ποιότητας μίγνυσθαι λέγοι τις, τὰς δὲ οὐσίας μηδαμῶς, ἀδύνατα λέξει· ἡ γὰρ τῶν ποιοτήτων ὑπόστασις ἐν ταῖς οὐσίαις ἐστί. διόπερ γελοῖον ἂν εἴη λέγειν ὡς αἱ μὲν ποιότητες χωρισθεῖσαι τῶν οὐσιῶν καὶ ἰδίᾳ μίγνυνταί που ἀλλήλαις, ἄποιοι δὲ
59 αἱ οὐσίαι χωρὶς ὑπολείπονται· λείπεται λέγειν ὅτι καὶ αἱ ποιότητες τῶν κιρναμένων καὶ αἱ οὐσίαι χωροῦσι δι' ἀλλήλων καὶ μιγνύμεναι τὴν κρᾶσιν ἀποτελοῦσιν, ὃ τῶν προειρημένων ἐστὶν ἀτοπώτερον· ἀδύνατος γάρ ἐστιν ἡ τοιαύτη κρᾶσις. οἷον γοῦν ἐὰν δέκα κοτύλαις [y]) ὕδατος κωνείου χυλοῦ κοτύλη μιχθῇ, παντὶ τῷ ὕδατι συνανακίρνασθαι ἂν λέγοιτο τὸ κώνειον. εἰ γοῦν καίτοι βραχύτατον μέρος τοῦ μίγματος λάβοι τις, εὑρήσει πεπληρωμέ-
60 νον αὐτὸ τῆς τοῦ κωνείου δυνάμεως· εἰ δὲ ἐπιμίγνυται τὸ κώνειον παντὶ μέρει τοῦ ὕδατος καὶ παρεκτείνεται αὐτῷ ὅλον ὅλῳ κατά τε τὴν τῶν οὐσιῶν [z]) καὶ τῶν ποιοτήτων αὐτῶν δι' ἀλλήλων δίοδον, ἵν' οὕτως ἡ κρᾶσις γένηται, τὰ δὲ παρεκτεινόμενα [a]) ἀλλήλοις καθ' ἅπαν μέρος τὸν ἴσον ἐπέχει τόπον, δι' ὃ καὶ ἴσα ἀλλήλοις ἐστίν, ἴση ἔσται ἡ κοτύλη τοῦ κωνείου ταῖς δέκα κοτύλαις τοῦ ὕδατος, ὡς εἴκοσι κοτύλας ὀφείλειν [b]) εἶναι τὸ μῖγμα

lum supradictorum commiscentur inter se ea quae mixta feruntur? 58. quodsi qualitates quidem simpliciter adhaerere dicantur aliae aliis, substantiae autem misceri, hoc etiam modo absurdum fuerit id quod dicitur; non enim separatas qualitates quae sunt in mistionibus percipimus, sed tamquam unam e commistis factam sentimus. si vero qualitates quidem misceri dicat aliquis, substantias autem nequaquam, impossibilia dicet; nam qualitatum subsistentia in substantiis est. propterea ridiculum fuerit dicere qualitates quidem separatas a substantiis etiam seorsum inter se misceri, substantias autem qualitatis expertes seorsum relinqui. 59. superest ut dicatur qualitates mixtorum et substantias pervadere se mutuo et dum commiscentur efficere mixturam; quod supra dictis est absurdius: impossibilis est enim huiusmodi permistio. verbi gratia, si decem cotylis aquae cotyla una succi cicutae admisceatur, toti aquae contemperari dicatur cicuta. nam si vel minimam partem huius misturae acceperit aliquis, ipsam cicutae potentia refertam esse comperiet. 60. quodsi commiscetur cicuta unicuique parti aquae et coextenditur ipsi tota toti per substantiarum et qualitatum ipsarum pervasionem inter se, ut ita mistio fiat, quae autem coextenduntur alia cum aliis per omnem partem, aequalem occupant locum ideoque aequalia sunt inter se, nimirum cotyla cicutae decem cotylis aquae aequalis fuerit, adeo ut viginti cotylas oporteat esse misturam

---

P 144 x) ἀπὸ τῶν κιρναμένων] ita mss pro ὑπό.

y) δέκα κοτύλαις] κοτύλη mensurae genus, quantum volabus iunctis utriusque manus capere possumus: nomen ductum a κότυ quod concavum denotat. vide eruditi viri Eduardi Bernhardi librum praeclarum de mensuris ac ponderibus antiquorum.

z) κατά τε τὴν τῶν οὐσιῶν] in editis articulus ante οὐσιῶν exciderat.

a) τὰ δὲ παρεκτεινόμενα] infra sect. 96.

b) ὀφεῖλον] ms Vratislav. ὀφείλειν. sed alterum usitatum bonis scriptoribus, nec inelegans, expungere nolui. [illud recepimus.]

ἢ δύο μόνας, ὅσον ἐπὶ τῇδε τῇ ὑποθέσει τοῦ τρόπου τῆς κρά-
σεως· καὶ κοτύλης πάλιν ὕδατος ταῖς εἴκοσι κοτύλαις ὅσον ἐπὶ
τῷ λόγῳ τῆς ὑποθέσεως ἐπεμβληθείσης, τεσσαράκοντα κοτυλῶν
ὀφείλει [c]) τὸ μέτρον εἶναι, ἢ πάλιν δύο μόνων, ἐπειδὴ καὶ τὴν
κοτύλην εἴκοσι κοτύλας ἐνδέχεται νοεῖν, ὅσαις παρεκτείνεται, καὶ
τὰς εἴκοσι κοτύλας μίαν, ᾗ συνεξισοῦνται. δυνατὸν δὲ οὕτω 61
κατὰ μίαν κοτύλην ἐπεμβάλλοντα καὶ ὁμοίως συλλογιζόμενον
συνάγειν, ὅτι αἱ εἴκοσιν ὁρώμεναι τοῦ μίγματος κοτύλαι δισμύ-
ριαί που καὶ πρὸς ὀφείλουσιν εἶναι, ὅσον ἐπὶ τῇ ὑποθέσει [d]) τοῦ
τρόπου τῆς κράσεως, αἱ δὲ αὐταὶ καὶ δύο μόναι· ὅπερ ἀπεμ-
φάσεως ὑπερβολὴν οὐκ ἀπολέλοιπεν. οὐκοῦν ἄτοπός ἐστι καὶ αὕτη
ἡ ὑπόθεσις τῆς κράσεως. εἰ δὲ οὔτε τῶν οὐσιῶν μόνων μιγνυ- 62
μένων ἀλλήλαις οὔτε τῶν ποιοτήτων μόνων οὔτε ἀμφοτέρων
οὔτε οὐθετέρου δύναται γίνεσθαι [e]) κρᾶσις, παρὰ δὲ ταῦτα οὐ- P 145
δὲν οἷόν τέ ἐστιν ἐπινοεῖν, ἀνεπινόητος ὁ τρόπος τῆς τε κρά-
σεως καὶ ὅλως τῆς μίξεώς ἐστι. διόπερ εἰ μήτε κατὰ θίξιν
παρατιθέμενα ἀλλήλοις τὰ καλούμενα στοιχεῖα μήτε ἀνακιρνώ-
μενα ἢ μιγνύμενα ποιητικὰ τῶν συγκριμάτων εἶναι δύναται,
ἀνεπινόητός ἐστιν ἡ κατὰ τοὺς Δογματικοὺς φυσιολογία καὶ ὅσον
ἐπὶ τούτῳ τῷ λόγῳ.

ΚΕΦ. ζ.

Περὶ κινήσεως.

Πρὸς δὲ τοῖς προειρημένοις ἦν ἐπιστῆσαι τῷ περὶ τῶν κινή- 63
σεων λόγῳ καὶ ὡς ἀδύνατον ἂν εἶναι νομισθείη ἡ κατὰ τοὺς

aut duas solas, per hanc suppositionem modi mistionis: et rursum si cotyla aquae viginti cotylis, ut hoc supponamus, iniecta fuerit, quadraginta cotylarum esse mensuram oportet, aut rursum duarum tantum: quoniam etiam cotylam decem cotylas possumus imaginari, quia tot cotylis coextenditur, et vicissim decem cotylas unam, cum qua aequantur. 61. quin etiam possit aliquis sigillatim cotylam addens et eodem modo ratiocinans colligere, illas viginti misturae cotylas quae cernuntur debere esse viginti cotylarum milia et amplius (secundum propositum modum mistionis, easdem autem etiam duas solas; quo fingi nihil possit absurdius. absurdus est ergo et hic qui supponitur modus ipsius mixturae. 62. quodsi neque substantiis solis inter se commistis neque qualitatibus solis neque utrisque neque alterutro tantum fieri potest mixtura, at praeter haec nihil potest quisquam intellectu percipere, modus temperaturae et generaliter commistionis intellectu percipi non potest. itaque si neque per contactum iuncta invicem ea quae videntur elementa neque contemperata aut mista possunt composita corpora efficere, Dogmaticorum physiologia etiam secundum hanc rationem intellectu comprehendi non posse comperitur.

CAP. VII.

De motu.

63. Praeter illa autem quae diximus ex disputatione de motibus animadverti poterat impossibilem existimari debere Dogmaticorum physiologiam.

---

c) ὀφείλῃ] ita mss pro ὀφείλει. [vulgatum restituimus.]
d) ἐπὶ τῇ ὑποθέσει] ita mss non προθέσει, ut in editis.
e) οὐθετέρου δύναται γίνεσθαι] ita mss pro οὐθ' ἑτέρου δύναται γίνεσθαι.

Δογματικοὺς φυσιολογία· πάντως γὰρ κατά τινα κίνησιν τῶν τε στοιχείων καὶ τῆς δραστικῆς ἀρχῆς ὀφείλει γίνεσθαι τὰ συγκρίματα. ἐὰν οὖν ὑπομνήσωμεν ὅτι μηδὲν εἶδος κινήσεως ὁμολογεῖται, σαφὲς ἔσται ὅτι καὶ διδομένων καθ᾽ ὑπόθεσιν τῶν προειρημένων ἁπάντων μάτην ὁ καλούμενος φυσικὸς λόγος τοῖς Δογματικοῖς διεξόδευται.

ΚΕΦ. η'.

Περὶ τῆς μεταβατικῆς κινήσεως.

64 Φασὶ τοίνυν οἱ δοκοῦντες ἐντελέστερον f) περὶ κινήσεως διειληφέναι, ἓξ εἴδη ταύτης ὑπάρχειν, τοπικὴν μετάβασιν φυσικὴν μεταβολὴν αὔξησιν μείωσιν γένεσιν φθοράν. ἡμεῖς οὖν ἑκάστῳ τῶν προειρημένων εἰδῶν τῆς κινήσεως κατ᾽ ἰδίαν ἐπιστήσομεν ἀπὸ τῆς τοπικῆς μεταβάσεως ἀρξάμενοι. ἔστιν οὖν αὕτη κατὰ τοὺς Δογματικοὺς καθ᾽ ἣν τόπον ἐκ τόπου g) περιέρχεται τὸ κινούμενον ἤτοι καθ᾽ ὁλότητα ἢ κατὰ μέρος· ὅλον μὲν ὡς ἐπὶ τῶν περιπατούντων, κατὰ μέρος δὲ ὡς ἐπὶ τῆς περὶ κέντρῳ κινουμένης σφαίρας· ὅλης γὰρ αὐτῆς μενούσης ἐν τῷ αὐτῷ
65 τόπῳ, τὰ μέρη τοὺς τόπους ἀμείβει. τρεῖς δὲ οἶμαι γεγόνασιν αἱ ἀνωτάτω h) περὶ κινήσεως στάσεις· ὁ μὲν γὰρ Βίας i) καί

omnino enim per aliquem motum elementorum et effectivi principii fieri composita corpora oportet. si ergo doceamus nullam esse motus speciem de qua constet, manifestum erit, etiamsi per suppositionem concedantur omnia supradicta, frustra tamen Dogmaticos quam vocant naturalem partem philosophiae exposuisse.

CAP. VIII.

De transitorio motu.

64. Dicunt igitur ii qui absolutius videntur de motu disputasse sex eius species esse: localem transitum, naturalem mutationem incrementum decrementum generationem et corruptionem. nos ergo unamquamque supradictarum motus specierum sigillatim expendemus, facto a locali transitu principio. est igitur hic secundum Dogmaticos per quem de loco in locum transit id quod movetur aut totum aut eius pars. totum quidem, ut in iis qui deambulant; pars autem, ut in sphaera quae circa centrum movetur. nam quum ipsa tota maneat eodem in loco, partes locos mutant. 65. tres autem ni fallor fuerunt omnium generalissimae de motu inter se discrepantes opinio-

P 145 f) *οἱ δοκοῦντες ἐντελέστερον*] Aristotelem se innuere Sextus profitetur 2 contra Physicos sect. 37. atque praeter ea quae de generibus motus notat Aristoteles in Categoriis exstat accurata eius de motu disputatio in libris *φυσικῆς ἀκροάσεως* tribus postremis, in quibus haec divisio legitur, lib. 7 capite 2 et lib. 8 cap. 7. ante Aristotelem genera motus attigerat Plato decimo de legibus p. 607. confer Chalcidium in Platonis Timaeum p. 357 seq.

g) *τόπον ἐκ τόπου*] Chalcidius loco laudato: *motus localis duae sunt species, translatio et circumlatio.* de circumlatione infra sect. 72.

h) *αἱ ἀνωτάτω*] HStephanus vertit *antiquissimae.* sed in argumentis capitum libri primi aliisque quos ibi demonstravi locis vocabulum hoc pro *summis* ac *generalissimis* accipitur atque ita praesenti etiam loco accipiendum. libro 2 adversus Physicos: *γνωστέον ὅτι τρεῖς γεγόνασι στάσεις κατὰ τὸ ἀνωτάτω περὶ κινήσεως.*

i) *ὁ μὲν γὰρ Βίας*] confer secundum librum adversus Physicos, ubi

τινες τῶν φιλοσόφων εἶναι κίνησιν ὑπολαμβάνουσιν, μὴ εἶναι δὲ Παρμενίδης τε καὶ Μέλισσος[k]) καὶ ἄλλοι τινές[l]). μὴ μᾶλλον P 146
δὲ εἶναι ἢ μὴ κίνησιν ἔφασαν οἱ Σκεπτικοί· ὅσον μὲν γὰρ ἐπὶ τοῖς φαινομένοις δοκεῖν εἶναι κίνησιν, ὅσον δὲ ἐπὶ τῷ φιλοσόφῳ λόγῳ μὴ ὑπάρχειν. ἡμεῖς οὖν ἐκθέμενοι τὴν ἀντίρρησιν τῶν τε εἶναι κίνησιν ὑπολαμβανόντων καὶ τῶν μηδὲν εἶναι κίνησιν ἀποφαινομένων, ἐὰν τὴν διαφωνίαν εὑρίσκωμεν ἰσοσθενῆ, μὴ μᾶλλον εἶναι ἢ μὴ εἶναι κίνησιν λέγειν ἀναγκασθησόμεθα ὅσον ἐπὶ τοῖς λεγομένοις. ἀρξόμεθα δὲ ἀπὸ τῶν ὑπάρχειν αὐτὴν λεγόν- 66
των. οὗτοι δὴ τῇ ἐναργείᾳ[m]) μάλιστα ἐπερείδονται· τὸ εἰ γὰρ μή ἐστι, φασί, κίνησις[n]), πῶς μὲν ἀπὸ ἀνατολῶν ἐπὶ δυσμὰς ὁ ἥλιος φέρεται[o]), πῶς δὲ τὰς τοῦ ἔτους ὥρας ποιεῖ, παρὰ τοὺς πρὸς ἡμᾶς συνεγγισμοὺς αὐτοῦ καὶ τὰς ἀφ' ἡμῶν ἀποστάσεις γιγνομένας; ἢ πῶς νῆες ἀπὸ λιμένων ἀναχθεῖσαι καταίρουσιν

nes; nam Bias et aliqui philosophi esse motum existimant, at Parmenides et Melissus et alii quidam negant. Sceptici vero non magis esse motum quam non esse dixerunt. nam quantum ad apparentia quidem, videri esse motum, sed quatenus quis philosophicam rationem sequatur, non esse. nos igitur postquam tum illorum qui motum esse existimant, tum etiam eorum qui motum nihil esse pronuntiant, altercationem exposuerimus, si ipsas discrepantiae caussas paris momenti utrinque esse comperiamus, non magis esse motum quam non esse dicere cogemur, quantum quidem attinet ad ea quae a Dogmaticis afferuntur. 66. ab iis autem qui dicunt motum esse exordium sumemus; hi certe maxime evidentia rei nituntur. si enim inquiunt non est modus, quomodo ab oriente ad occasum sol fertur et quomodo anni tempora facit, quae fiunt prout vel nobis propior vel a nobis remotior est? aut quomodo naves

---

itidem Bias nominatur et cum eo alii philosophi complures, qui motum dari affirmarunt, ut ratio quoque et sensus ipsi perspicue suadent. utrum vero hic intelligendus sit (ut videtur, quoniam nomen nudum ponitur) celebris ille inter septem sapientes Bias Priensis, et quo in scripto hanc suam de motu sententiam prodiderit, a nemine traditum repperi.

k) Παρμενίδης τε καὶ Μέλισσος] idem de utroque testatur Plato in Theaeteto, Aristoteles 1 Physicor. cap. 3 et ad eum locum Simplicius P 146
p. 9 qui utriusque verba et argumenta adducit. Parmenidis quidem:

Αὐτὰρ ἀκίνητον μεγάλων ἐν πείρασι δεσμῶν
ἐστὶν ἄναρχον, ἄπαυστον, ἐπεὶ γένεσις καὶ ὄλεθρος
τῆδε μάλ' ἐπλάγχθησαν, ἄπωσε δὲ πίστις ἀληθής.
οὕτως ἔμπεδον αὖθι μένει, κρατερὴ γὰρ ἀνάγκη
πείρατος ἐν δεσμοῖσιν ἔχει, τό μιν ἀμφὶς ἐέργει
οὕνεκεν οὐκ ἀτελεύτητον τὸ ἐὸν θέμις εἶναι,
ἔστι γὰρ οὐκ ἐπιδευές. μὴ ἐὸν δ' ἂν παντὸς ἐδεῖτο.

Melissi vero: οὐδὲ κενεόν ἐστιν οὐδέν, τὸ γὰρ κενεὸν οὐδέν ἐστιν. οὐκ ἂν οὖν εἴη τόγε μηδέν. οὐδὲ κινεῖται, ὑποχωρῆσαι γὰρ οὐκ ἔχει οὐδαμῆ, ἀλλὰ πλέων ἐστίν. εἰ μὲν γὰρ κενεὸν ἦν, ὑπεχώρει ἂν εἰς τὸ κενεόν· κένεοῦ δὲ μὴ ὄντος, οὐκ ἔχει ὅκου ὑποχωρήσει. πλέων οὖν ὢν οὐ κινεῖται. confer Galenum lib. 1 de elementis c. 4.

l) καὶ ἄλλοι τινές] Parmenidi ac Melisso Zenonem Eleatem addit Plutarchus lib. 1 de placitis cap. 24. et Diodori Croni argumentum adversus motum noster repetit infra sect. 71.

m) ἐναργείᾳ] male editi tum hoc tum aliis locis ἐνεργείᾳ.

n) κίνησις] in editis ante hanc vocem erat αὐτή, quod bene potest abesse et in mss exsulat.

o) ἀπὸ ἀνατολῶν ἐπὶ δυσμὰς ὁ ἥλιος φέρεται] ita mss pro ἀπὸ τῶν ἀνατολῶν ἐπὶ δυσμας ; ἥλιος φαίνεται.

ἐπὶ λιμένας ἄλλους πάμπολυ τῶν προτέρων ἀφεστῶτας; τίνα δὲ τρόπον ὁ τὴν κίνησιν ἀναιρῶν πρόεισι τῆς οἰκίας καὶ αὖθις ἀναστρέφει; ταῦτα δὴ τελέως ἀναντίρρητα εἶναι. διὸ καὶ τῶν Κυνικῶν τις[p]) ἐρωτηθεὶς κατὰ τὸν τῆς[q]) κινήσεως λόγον οὐδὲν ἀπεκρίνατο, ἀνέστη δὲ καὶ ἐβάδισεν, ἔργῳ καὶ διὰ τῆς ἐναργείας παριστὰς ὅτι ὑπαρκτή ἐστιν ἡ κίνησις. οὗτοι μὲν οὖν οὕτω δυσωπεῖν ἐπιχειροῦσι τοὺς τῆς ἐναντίας αὐτοῖς[r]) στάσεως ὄντας.
67 οἱ δὲ τὴν ὕπαρξιν τῆς κινήσεως ἀναιροῦντες λόγοις ἐπιχειροῦσι τοιούτοις· εἰ κινεῖταί τι, ἤτοι ὑφ᾽ ἑαυτοῦ[s]) κινεῖται ἢ ὑφ᾽ ἑτέρου. ἀλλ᾽ εἰ μὲν ὑφ᾽ ἑτέρου, τὸ μὲν λεγόμενον ὑφ᾽ ἑτέρου[t]) κινεῖσθαι ἤτοι ἀναιτίως[u]) κινηθήσεται ἢ κατά τινα αἰτίαν· ἀναιτίως μὲν οὐδέν φασι γίνεσθαι· εἰ δὲ κατά τινα αἰτίαν κινεῖται, ἡ αἰτία[x]), καθ᾽ ἣν κινεῖται, κινητικὴ αὐτοῦ γενήσεται. ὅθεν εἰς ἄπειρον ἐκπίπτει κατὰ τὴν μικρῷ πρόσθεν[y]) εἰρημένην ἐπιβολήν.
68 ἄλλως τε καὶ εἰ τὸ κινοῦν ἐνεργεῖ, τὸ δὲ ἐνεργοῦν κινεῖται, κἀκεῖνο δεήσεται κινοῦντος ἑτέρου καὶ τὸ δεύτερον τρίτου καὶ μέχρις ἀπείρου· ὡς ἄναρχον γίνεσθαι τὴν κίνησιν· ὅπερ ἄτοπον.
P 147 οὐκ ἄρα πᾶν τὸ κινούμενον ὑφ᾽ ἑτέρου κινεῖται· ἀλλ᾽ οὐδὲ ὑφ᾽ ἑαυτοῦ· ἐπεὶ γὰρ πᾶν τὸ κινοῦν ἤτοι προωθοῦν κινεῖ ἢ ἐπισπώ-

a portu uno solventes ad alium portum longissimo intervallo dissitum appellunt? quomodo is qui tollit motum, domo exit et domum revertitur? haec refutari nullo modo posse. ideoque quidam ex Cynicis, quum ei propositum esset contra motum argumentum, nihil respondit, sed surgens ambulare coepit opere et actu ostendens existere motum. hi ergo hoc modo illis qui ab altera stant parte silentium imponere conantur. 67. at qui existentiam motus tollunt haec argumenta afferunt: si quid movetur, aut a se ipso movetur aut ab alio: sed siquidem ab alio, id quod dicitur ab altero moveri aut per nullam causam movebitur aut per aliquam. at sine causa quidem nihil dicunt fieri: sin igitur per aliquam causam movetur, causa per quam movetur motiva eius erit. unde in infinitum delabitur secundum superiorem disputationis methodum. 68. praeterea si quod movet efficit, quod autem efficit movetur, illud quod egebit movente alio et secundum tertio et usque in infinitum, adeo ut principii expers reddatur motus; quod absurdum est. ergo omne quod movetur ab alio non movetur, at neque a se ipso; quia enim omne quod movet,

p) τῶν Κυνικῶν τις] supra lib. 2 sect. 224.
q) κατὰ τὸν τῆς] ita mss et mox iterum ἐναργείας pro ἐνεργείας.
r) αὐτοῖς] ms Vratislav. αὐτῆς.
s) ὑφ᾽ ἑαυτοῦ] ita mss pro αὐτοῦ. in libro 2 adversus Physicos ubi idem argumentum legitur, semel iterumque ὑφ᾽ αὑτοῦ. sed levia haec omitti forte erat satius, nisi in levioribus etiam vellem auctoris scripturam quantum possum accurate expressam exhibere.
t) τὸ μὲν λεγόμενον ὑφ᾽ ἑτέρου] ita legendus hic locus; male enim in editis erat, apposito etiam asterisco obscuritatis indice: τὸ γὰρ λεγόμενον ὑφ᾽ ἑαυτοῦ
u) ἀναιτίως] ita ut nulla causa sit quae moveat moventem.
x) ἡ αἰτία] ita mss; nam in editis articulus exciderat.
y) μικρῷ πρόσθεν] supra sect. 24 huius libri.
P 147 z) ἂν ὠθοῦν] ita legendum pro ἀνωθοῦν quod erat in editis, atque unam modo speciem ex illis quattuor motus generibus praeter auctoris mentem determinat, quae universa simplici vocabulo ὠθεῖν Sextus complecti voluit. est enim ὠθεῖν pellere, ἀνωθεῖν sursum pellere, pro quo ἀνοχλεῖν lib. 2 contra Phys., sect. 83, ubi idem argumentum legitur [ἂν delendum est.]

μενον ἢ ἀνωθοῦν ἢ ἐνθλῖβον, δεήσει τὸ ἑαυτὸ [ἂν] ὠθοῦν *)
κατά τινα τῶν προειρημένων τρόπον ἑαυτὸ κινεῖν. ἀλλ' εἰ μὲν 69
προωστικῶς ἑαυτὸ κινεῖ, ἔσται ἐξόπισθεν ἑαυτοῦ· εἰ δὲ ἐπισπα-
στικῶς, ἔμπροσθεν· εἰ δὲ ἀνωστικῶς, ὑποκάτω· εἰ δὲ ἐνθλι-
πτικῶς, ἐπάνω. ἀδύνατον δὲ αὐτό τι ἑαυτοῦ ἐπάνω εἶναι ἢ ἔμ-
προσθεν ἢ ὑποκάτω ἢ ὀπίσω· ἀδύνατον ἄρα ὑφ' ἑαυτοῦ τι
κινεῖσθαι. εἰ δὲ μήτε ὑφ' ἑαυτοῦ τι a) κινεῖται μήτε ὑφ' ἑτέρου,
οὐδὲ κινεῖταί τι. εἰ δέ τις ἐπὶ τὴν ὁρμὴν καὶ τὴν προαίρεσιν 70
καταφεύγοι, ὑπομνηστέον αὐτὸν τῆς περὶ τοῦ ἐφ' ἡμῖν διαφω-
νίας b)· καὶ ὅτι ἀνεπίκριτος αὕτη καθέστηκε, κριτήριον ἡμῶν
τῆς ἀληθείας ἄχρι νῦν οὐχ εὑρηκότων c). ἔτι κἀκεῖνο λεκτέον, 71
εἰ κινεῖταί τι, ἤτοι ἐν ᾧ ἐστι τόπῳ κινεῖται ἢ ἐν ᾧ οὐκ ἔστιν.
οὔτε δὲ ἐν ᾧ ἐστι, μένει γὰρ ἐν αὐτῷ, εἴπερ ἐν αὐτῷ ἐστιν·
οὔτε δὲ ἐν ᾧ μή ἐστιν, ὅπου γάρ τι μή ἐστιν, ἐκεῖ οὐδὲ δρᾶσαί
τι οὐδὲ παθεῖν δύναται· οὐκ ἄρα κινεῖταί τι. οὗτος δὲ ὁ λόγος
ἐστὶ μὲν Διοδώρου τοῦ Κρόνου d), πολλῶν δὲ ἀντιρρήσεων τετύ-
χηκεν, ὧν τὰς πληκτικωτέρας διὰ τὸν τρόπον e) τῆς συγγραφῆς
ἐκθησόμεθα μετὰ τῆς φαινομένης ἡμῖν ἐπικρίσεως. φασὶν οὖν 72
τινες ὅτι δύναταί τι ἐν ᾧ ἐστι τόπῳ f) κινεῖσθαι· τὰς γοῦν περὶ
τοῖς κέντροις περιδινουμένας σφαίρας ἐν τῷ αὐτῷ μενούσας τόπῳ

aut protrudens movet aut a tergo trahens aut sursum trudens aut comprimens, oportebit ut id quod se ipsum trudit, per unum aliquem ex praedictis modis se ipsum moveat. 69. sed si quidem protrudendo se ipsum movet, erit retro se ipsum; si a tergo trahendo, ante se ipsum; si sursum trudendo, infra se ipsum; si comprimendo, supra. atqui impossibile est ut aliquid supra se ipsum aut ante aut infra aut retro sit: impossibile est ergo a se quicquam moveri. at si neque a se ipso motus fit neque ab alio, nihil ergo movetur. 70. quodsi quis ad impetum animi et spontaneam electionem confugiat, is admonendus est de controversia, quae est de eo quod dicitur esse in nostra potestate, et hanc indiiudicabilem esse, quum nos veritatis criterium nondum invenerimus. 71. illud praeterea dicendum est, si quid movetur, aut in eo in quo est loco movetur, aut in quo non est. at neque in quo est: manet enim in eo, si in eo est. nec vero in quo non est: ubi enim aliquid non est, illic neque agere quicquam neque pati potest. non ergo movetur quicquam. est autem hoc argumentum Diodori Croni, quod multas refutationes habuit: ex quibus nos eas tantum quae magis premunt propter praesentis scripti institutum una cum indicio quod de illo ferendum nobis videtur, exponemus. 72. dicunt ergo nonnulli posse quidpiam in quo sit loco moveri; nam sphaeras, quae circa centra volvuntur, in eodem manentes loco moveri.

---

a) ὑφ' ἑαυτοῦ τι] ita mss, licet in editis τὶ desideratur.

b) τῆς περὶ τοῦ ἐφ' ἡμῖν διαφωνίας] alii philosophi ut Anaxagoras, Aristotelis schola, Sadducaei docebant omnia esse nostrae spontis, alii multa, ut Pharisaei Plato et Epicurus, alii denique nihil, ut Democritus, Leucippus et plerique Stoicorum.

c) κριτήριον ἡμῶν οὐχ εὑρηκότων] supra lib. 2 sect. 18 seq.

d) Διοδώρου τοῦ Κρόνου] supra lib. 2 sect. 245 et contra Physicos lib. 2 aliquoties. simile argumentum contra mutationem infra sect. 101, et contra generationem, inferius.

Pythagorici ostenderunt, nec aliud quicquam praeter haec, ut declarabimus: nihil ergo est numerus. 158. nihil autem esse numerum extrinsecus praeter ea quae numerantur manifestum reddemus de unitate tantum verba facientes, ut apertius sit quod docebimus. si enim unitas est aliquid per se ipsam, cuius particeps unumquodque illam participantium fit unum, aut una erit haec unitas, aut tot quot sunt quae eam participant. sed si una quidem sit, utrum ipsam totam participat unumquodque eorum quae illam participare dicuntur, an eius partem duntaxat? nam si omnem habet unitatem unus homo verbi gratia, non amplius erit unitas quam participet unus equus aut unus canis aut aliorum unumquodque quod dicimus esse unum. 159. supponamus enim esse multos homines nudos, si unicum fuerit vestimentum et unus eo se induerit, reliqui nudi maneant et absque vestimento. quod si partis eius unumquodque particeps est, primum quidem habebit aliquam partem unitas atque adeo infinitas habebit partes, in quas dividatur, quod est absurdum: deinde ut pars decadis velut binarius non est decas, ita neque pars unitatis erit unitas: atque ideo ne participabit quidem quicquam de unitate: itaque unitas non est una quam participare singularia dicuntur. 160. sin vero unitates sunt numero aequales numerabilibus de quibus dicitur unum, ex quarum participatione unumquodque singularium dicitur unum, infinitae erunt unitates quae participabuntur, et ipsae aut participant de unitate summa vel de unitatibus aequinumeris, et propterea sunt unitates, aut non participant, sed absque ulla participatione

i) ὡς ὑπομνήσομεν] ita recte mss pro ὑπεμνήσαμεν: nondum enim hoc fecit sed mox facturus est Sextus.

k) ἀλλ' εἰ μὲν μία ἐστί] conferendus liber 2 adversus Physicos.

l) ἐπαναβεβηκυίας μονάδος] unitate transcendente sive generali illa summaque prima ac simplici idea unitatis, omnibus communi unitatibus. sic infra sect. 166 et 167 compositi numeri ἐκ τῶν ἐπαναβεβηκότων, ex primis et simplicioribus, et lib. 1 sect. 38 ἐπαναβεβηκότες τρόποι, modi generaliores.

161 τινὸς ἄλλο χωρὶς τινὸς μετοχῆς μονάδες εἰσίν. εἰ μὲν γὰρ χωρὶς μετοχῆς μονάδες εἶναι δύνανται αὗται, δυνήσεται καὶ τῶν αἰσθητῶν ἕκαστον χωρὶς μονάδος μετοχῆς ἓν εἶναι· καὶ αὐτόθεν περιτρέπεται ἡ καθ' ἑαυτὴν θεωρεῖσθαι λεγομένη μονάς. εἰ δὲ ἀπὸ μετοχῆς κἀκεῖναι μονάδες εἰσίν, ἤτοι μιᾶς μετέχουσι πᾶσαι
P 167 ἢ ἰδίας ἑκάστη ἰδίας· καὶ εἰ μὲν πᾶσαι μιᾶς, ἤτοι κατὰ μέρος ἑκάστη ἢ ὅλης λεχθήσεται μετέχειν, καὶ μένουσιν αἱ ἀρχῆθεν
162 ἀπορίαι[m]· εἰ δὲ ἑκάστη ἰδίας, καὶ ἑκάστης τῶν μονάδων ἑκάστην μονάδα ἐπιθεωρεῖσθαι δεῖ καὶ ταῖς ἐπιθεωρουμέναις ἐκείναις ἄλλας καὶ μέχρις ἀπείρου. εἰ οὖν, ἵνα καταλάβωμεν ὅτι εἰσί τινες καθ' ἑαυτὰς μονάδες, ὧν κατὰ μετοχὴν ἕκαστον τῶν ὄντων ἐστὶν ἕν, δεῖ κατειληφέναι ἀπειράκις ἀπείρους νοητὰς μονάδας, ἀδύνατον δὲ καταλαβεῖν ἀπειράκις ἀπείρους μονάδας νοητάς, ἀδύνατον ἄρα ἐστὶν ἀποφήνασθαι, ὅτι εἰσί τινες νοηταὶ μονάδες καὶ ἕκαστον τῶν ὄντων ἐστὶν ἓν κατὰ μετοχὴν ἰδίας
163 μονάδος γινόμενον. ἄτοπον ἄρα τὸ λέγειν ὅτι τοσαῦταί εἰσιν αἱ μονάδες ὅσα τὰ μετέχοντα αὐτῶν. εἰ δὲ μήτε μία ἐστὶν ἡ καθ' ἑαυτὴν λεγομένη μονάς, μήτε τοσαῦται ὅσα τὰ μετέχοντα αὐτῆς ἐστιν, οὐδὲ ἔστιν ὅλως μονὰς καθ' ἑαυτήν. ὁμοίως δὲ οὐδὲ τῶν ἄλλων ἀριθμῶν ἕκαστος καθ' αὑτόν ἐστι· χρῆσθαι γὰρ ἔξεστιν ἐπὶ πάντων τῶν ἀριθμῶν τῷ λόγῳ παραδειγματικῶς νῦν ἐπὶ τῆς μονάδος ἠρωτημένῳ. ἀλλ' εἰ μήτε καθ' ἑαυτόν ἐστιν ὁ ἀριθμός, ὡς ὑπεμνήσαμεν, μήτε αὐτὰ τὰ ἀριθμητὰ ὁ ἀριθμός ἐστιν, ὡς οἱ ἀπὸ Πυθαγόρου παρέστησαν[n]), παρὰ δὲ
164 ταῦτα οὐδέν ἐστι, λεκτέον μηδὲ εἶναι ἀριθμόν. πῶς δὲ καὶ γί-

unitates sunt. 161. si vero absque participatione unitates esse possunt hae, poterit etiam sensibilium unumquodque absque unitatis participatione unum esse, et ex hoc ipso evertitur unitas, quae per se ipsam consideranda proponitur. sin a participatione sunt illae etiam unitates, aut unam participant omnes, aut unaquaeque peculiarem. et si quidem omnes unam, aut parte tenus duntaxat unaquaeque aut ipsam totam participare dicentur, et ita relinquuntur eaedem quae primo absurditates. 162. sin unaquaeque peculiarem, etiam illarum unitatum unamquamque unitatem oportet insuper spectari, et his insuper consideratis iterum alias atque ita usque in infinitum. si igitur, ut comprehendamus esse aliquas unitates per se ipsas, ex quarum participatione unumquodque eorum quae sunt, est unum, oportet comprehendisse infinities infinitas unitates intellectu perceptibiles, impossibile est autem infinities infinitas unitates sub intellectum cadentes comprehendere, impossibile est certe pronunciare esse aliquas intellectu perceptibiles unitates, et unumquodque eorum quae sunt esse unum, ita ut per participationem peculiaris unitatis unum fiat. 163. absurdum ergo etiam est dicere tot esse unitates quot sunt res quae illas participant. quodsi neque una est quae per se ipsam dicitur unitas neque tot sunt unitates, quot res quae eam participant, ne ullo quidem modo est unitas per se ipsam. idem vero nec aliorum numerorum unusquisque per se ipsum erit; nam in omnibus numeris possumus uti ea ratiocinatione, quam nunc exempli causa in unitate proposuimus. sed si neque per se ipsum aliquid est numerus, ut docuimus, neque numerus est ea quae numerantur, ut ostenderunt Pythagorici, praeter haec autem nihil est, ne numerum quidem esse dicendum est. 164. iam vero quomodo ex unitate fieri

P 167 m) αἱ ἀρχῆθεν ἀπορίαι] frequenter ita loquuntur, ut supra sect. 142 αἱ ἀρχῆθεν ἀπορίαι.
n) οἱ ἀπὸ Πυθαγόρου παρέστησαν] supra sect. 156.

νεσθαί φασιν ἐκ τῆς μονάδος τὴν δυάδα οἱ ἔξωθέν τι δοκοῦντες
εἶναι τὸν ἀριθμὸν παρὰ τὰ ἀριθμητά; ὅτε γὰρ συντίθεμεν μο-
νάδα ἑτέρᾳ μονάδι, ἤτοι προστίθεταί τι ταῖς μονάσιν ἔξωθεν
ἢ ἀφαιρεῖταί τι ἀπ' αὐτῶν, ἢ οὔτε προστίθεταί τι οὔτε ἀφαι-
ρεῖται. ἀλλ' εἰ μὲν οὔτε προστίθεται οὔτε ἀφαιρεῖται, οὐκ ἔσται
δυάς· οὔτε γὰρ χωρὶς ἀλλήλων οὖσαι αἱ μονάδες o) εἶχον τὴν
μονάδα ἐπιθεωρουμένην αὐταῖς κατὰ τὸν ἴδιον αὐτῶν λόγον,
οὔτε νῦν τι αὐταῖς ἔξωθεν προσγέγονεν· ὥστε οὐδὲ ἀφῄρηται 165
κατὰ τὴν ὑπόθεσιν, ὥστε οὐκ ἔσται δυὰς ἡ σύνθεσις τῆς μο-
νάδος πρὸς τὴν μονάδα μήτε ἀφαιρέσεως μήτε προσθέσεως ἔξω-
θέν τινος γινομένης. εἰ δὲ ἀφαίρεσις γίνεται, οὐ μόνον οὐκ ἔσται
δυάς, ἀλλὰ καὶ μειωθήσονται αἱ μονάδες. εἰ δὲ προστίθεται
αὐταῖς ἔξωθεν ἡ δυάς, ἵνα ἐκ τῶν μονάδων γένηται δυάς, τὰ
δύο δοκοῦντα εἶναι τέσσαρα ἔσται· ὑπόκειται γὰρ μονὰς καὶ
ἑτέρα μονάς, αἷς προστιθεμένης ἔξωθεν δυάδος ὁ τέσσαρα ἀριθμὸς P 168
ἀποτελοῖτο ἄν. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων ἀριθμῶν 166
τῶν κατὰ σύνθεσιν ἀποτελεῖσθαι λεγομένων. εἰ οὖν μήτε κατὰ
ἀφαίρεσιν μήτε κατὰ πρόσθεσιν μήτε ἄνευ ἀφαιρέσεως καὶ
προσθέσεως γίγνονται οἱ σύνθετοι λεγόμενοι εἶναι ἀριθμοὶ ἐκ
τῶν ἐπαναβεβηκότων p), ἀσύστατός ἐστιν ἡ γένεσις τοῦ κατ'
ἰδίαν καὶ περὶ τὰ ἀριθμητὰ εἶναι λεγομένου ἀριθμοῦ. ὅτι δὲ
οὐδὲ ἀγέννητοι τυγχάνουσιν ὄντες οἱ κατὰ σύνθεσιν ἀριθμοί, δη-
λοῦσιν αὐτοὶ συντίθεσθαί τε αὐτοὺς καὶ γίνεσθαι φάσκοντες ἐκ
τῶν ἐπαναβεβηκότων, οἷον τῆς τε μονάδος καὶ δυάδος τῆς ἀο-
ρίστου q). οὐκοῦν οὐχ ὑφέστηκεν r) κατ' ἰδίαν ὁ ἀριθμός. εἰ δὲ 167

dicunt binarium, ii qui extrinsecus aliquid esse putant numerum praeter res quae numerantur? nam quando unitatem cum alia unitate componimus, aut aliquid unitatibus extrinsecus additur, aut aufertur ab illis aut neque additur quicquam nec aufertur. verum si neque addatur neque auferatur quicquam, non erit binarius. neque enim unitates, quando aliae seorsum ab aliis sunt, habent unitatem quae peculiariter cuique illarum accedat. 165. neque vero ipsis nunc aliquid extrinsecus additum fuit. ergo neque ablatum secundum hanc suppositionem. non erit ergo binarius compositio unitatis cum unitate, quum neque additio neque ablatio ulla fiat extrinsecus. quodsi ablatio fiat, non solum non erit binarius, sed etiam minuentur unitates; si autem addatur ad ipsas extrinsecus binarius, ut ex unitatibus binarius fiat, quae duo esse videbantur, iam quattuor erunt. subiecta est enim unitas et altera unitas, quibus addito extrinsecus binario numerus quaternarius efficitur. 166. eadem ratio et in reliquis est numeris qui per compositionem effici dicuntur. si ergo neque per ablationem neque per additionem neque sine ablatione et additione fiunt illi numeri, qui compositi esse dicuntur ex simplicioribus numeris, nulla poterit fieri generatio numeri, quem aiunt seorsum esse ac in rebus quae numerantur subsistere. at vero generari numeros compositos ipsi declarant, dum componi ipsos et fieri ex simplicioribus numeris docent, verbi gratia ex unitate et binario indefinito. ergo seorsum per se numerus non sub-

---

o) οὔτε γὰρ χωρὶς ἀλλήλων οὖσαι] sensus est, unitatem unam iterumque aliam esse manereque unum et unum, non autem duo fieri. eadem cavillatio lib. 2 adversus Physicos. gemina quoque supra capite 10 ubi de subtractione et additione.

p) ἐκ τῶν ἐπαναβεβηκότων] de hac voce supra sect. 160. P 168

q) δυάδος τῆς ἀορίστου] vide si placet ad sect. 168.

r) οὐκοῦν οὐχ ὑφέστηκεν] ita recte mss. in editis οὐχ exciderat.

μήτε κατ' ἰδίαν ὁ ἀριθμὸς θεωρεῖται μήτε ἐν τοῖς ἀριθμητοῖς ἔχει τὴν ὑπόστασιν, οὐδὲ ἔστι τι ὁ ἀριθμός, ὅσον ἐπὶ ταῖς περιεργίαις ταῖς ὑπὸ τῶν Δογματικῶν εἰσενηνεγμέναις. τοσαῦτα μὲν καὶ περὶ τοῦ φυσικοῦ καλουμένου τῆς φιλοσοφίας μέρους ἀρκοῦντα ὡς ἐν ὑποτυπώσει λελέχθω.

ΚΕΦ. ιθ'.

Περὶ τοῦ ἠθικοῦ μέρους φιλοσοφίας.

168 Λείπεται δὲ τὸ ἠθικόν, ὅπερ δοκεῖ περὶ τὴν διάκρισιν τῶν τε καλῶν καὶ κακῶν καὶ ἀδιαφόρων s) καταγίγνεσθαι. ἵνα οὖν κεφαλαιωδῶς καὶ περὶ τούτου διαλάβωμεν, περὶ τῆς ὑπάρξεως τῶν τε ἀγαθῶν καὶ κακῶν καὶ ἀδιαφόρων ζητήσομεν, τὴν ἔννοιαν ἑκάστου προεκθέμενοι.

ΚΕΦ. κ'.

Περὶ ἀγαθῶν καὶ κακῶν καὶ ἀδιαφόρων.

169 Φασὶν οὖν οἱ Στωϊκοὶ ἀγαθὸν εἶναι t) ὠφέλειαν ἢ οὐχ ἕτερον ὠφελείας, ὠφέλειαν μὲν λέγοντες τὴν ἀρετὴν καὶ τὴν σπουδαίαν πρᾶξιν, οὐχ ἕτερον δὲ ὠφελείας τὸν σπουδαῖον ἄνθρωπον καὶ τὸν φίλον· ἡ μὲν

sistit, 167. quodsi neque seorsum numerus spectatur neque subsistentiam habet in iis quae numerantur, ne est quidem quicquam numerus secundum ea quae curiose a Dogmaticis afferuntur. nec vero brevis institutionis ratio exigere videtur, ut de philosophiae parte quam naturalem vocant plura a nobis dicantur.

CAP. XIX.

De morali parte philosophiae.

168. Superest moralis pars, quae circa bonorum et malorum et indifferentium diiudicationem versari videtur. ut igitur de hac quoque breviter et summa tantum capita attingentes disseramus, de bonorum et malorum et indifferentium existentia inquiremus, si prius cuiusque horum notionem exposuerimus.

CAP. XX.

De bonis et malis indifferentibus.

169. Dicunt igitur Stoici bonum esse utilitatem aut non aliud ab utilitate, utilitatem quidem appellantes virtutem et bonam actionem, non aliud autem ab utilitate virum probum et amicum. nam virtus quum sit principa-

s) καλῶν καὶ κακῶν καὶ ἀδιαφόρων] ita prudentiam Zeno definiebat ἐπιστήμην κακῶν καὶ ἀγαθῶν καὶ οὐδετέρων infra sect. 271 et apud Laërtium 7 92 et 93 τὴν καρτερίαν ἐπιστήμην ἢ ἕξιν ὧν ἐμμενετέον καὶ μὴ καὶ οὐδετέρων, eadem distinctio 102, ubi quid per singula intelligant Stoici, explicatur.

t) ἀγαθὸν εἶναι] noster infra libro adversus Ethicos sect. 22. Laërtius 7 94. Stobaeus Eclog. Ethic. p. 165, Suidas in ἀγαθόν. quibus iungendi Lipsius lib. 2 manuduct. diss. 22 et Scioppius in elementis philosophiae Stoicae cap. 121. quod ὠφέλειαν noster vocat, apud Ciceronem 3 10 est ὠφέλημα.

γὰρ ἀρετὴ πὼς ἔχον ἡγεμονικὸν καθεστηκυῖα, καὶ ἡ σπουδαία πρᾶ-
ξις ἐνέργειά τις οὖσα κατ' ἀρετήν, ἀντικρύς ἐστιν ὠφέλεια. ὁ δὲ
σπουδαῖος ἄνθρωπος καὶ ὁ φίλος οὐχ ἕτερος ὠφελείας. μέρος μὲν 170
γὰρ τοῦ σπουδαίου ἐστὶν ὠφέλεια, τὸ ἡγεμονικὸν αὐτοῦ ὑπάρ-
χουσα. τὰ δὲ ὅλα οὔτε τὰ αὐτὰ τοῖς μέρεσιν εἶναι λέγουσιν —
οὐ γάρ ἐστιν ὁ ἄνθρωπος χείρ — οὔτε ἕτερα παρὰ τὰ μέρη —
οὐκ ἄνευ γὰρ τῶν μερῶν ὑφέστηκεν — διόπερ οὐχ ἕτερα τῶν P 169
μερῶν τὰ ὅλα λέγουσιν. ὅθεν τὸν σπουδαῖον ὅλον ὄντα, ὡς πρὸς
τὸ ἡγεμονικὸν [u]) ἑαυτοῦ, ὅπερ ἔφασιν ὠφέλειαν, οὐχ ἕτερον ὠφε-
λείας εἶναι λέγουσιν.

ΚΕΦ. κα'.

Ὅτι τὸ ἀγαθὸν τριχῶς [x]) λέγεται.

Ἐντεῦθεν καὶ τριχῶς τὸ ἀγαθόν φασι λέγεσθαι· καθ' ἕνα 171
μὲν γὰρ τρόπον φασὶν εἶναι ἀγαθὸν τὸ ὑφ' οὗ ἐστιν ὠφελεῖ-
σθαι, ὃ δὴ ἀρχικώτατόν ἐστι καὶ ἀρετή [v])· καθ' ἕτερον δέ,
καθ' ὃ συμβαίνει ὠφελεῖσθαι, ὡς ἡ ἀρετὴ καὶ αἱ κατ' ἀρε-
τὴν πράξεις· κατὰ τρίτον δὲ τρόπον τὸ οἷόν τε ὠφελεῖν.
τοῦτο δὲ καὶ ἀρετὴν εἶναι καὶ κατὰ ἀρετὴν πρᾶξιν καὶ τὸν
σπουδαῖον καὶ τὸν φίλον θεούς τε καὶ σπουδαίους δαίμονας, ὡς
τὸ μὲν δεύτερον [z]) σημαινόμενον τοῦ ἀγαθοῦ ἐμπεριληπτικὸν
εἶναι τοῦ πρώτου σημαινομένου, τὸ δὲ τρίτον τοῦ δευτέρου καὶ
τοῦ πρώτου. τινὲς δέ φασιν ἀγαθὸν εἶναι τὸ δι' ἑαυτὸ αἱρετόν, 172
ἄλλοι δὲ τὸ συλλαμβάνον πρὸς εὐδαιμονίαν ἢ τὸ συμπληρωτι-

tus mentis certo quodam modo se habens, et bona actio quum sit operatio quaedam secundum virtutem, plane est utilitas. at probus vir et amicus non alius ab utilitate. 170. nam probi pars est utilitas, quum ipsius sit mentis principatus. at tota neque eadem cum partibus esse dicunt — neque enim homo est manus — nec alia quam partes — non enim sine partibus subsistunt. — unde non alia a partibus tota esse dicunt. unde probum quum sit totum, principatus mentis suae respectu quod dixerunt utilitatem, non alium ab utilitate esse perhibent.

CAP. XXI.

Bonum trifariam dici.

171. Hinc fit ut et trifariam bonum dici asserant; uno enim modo bonum esse dicunt illud a quo peti utilitas potest, quod est maxime principale et virtus, alio autem, secundum quod contingit ut utilitas percipiatur, veluti virtus et actiones quae secundum virtutem fiunt. tertio modo, quod potest utilitatem afferre. hoc autem et virtutem esse et actionem quae secundum virtutem et probum et amicum deosque et probos daemones; adeo ut a secundo quidem significato boni comprehendatur primum significatum, a tertio vero secundum et primum. 172. nonnulli autem bonum esse dicunt id quod per se appetendum sit; alii quod adiuvat ad felicitatem aut complementum

---

u) ὡς πρὸς τὸ ἡγεμονικόν] ita mss: nam in editis exciderat ὡς. P 169

x) τριχῶς] confer librum adversus Ethicos sect. 25 seq.

y) ὃ δὴ ἀρχικώτατόν ἐστι καὶ ἀρετή] ita mss. in editis erat ἀρχικώτερόν ἐστι καὶ ἀρεταί.

z) τὸ μὲν δεύτερον] ita recte mss, non τόν.

κόν. εὐδαιμονία δέ ἐστιν, ὡς οἱ Στωϊκοί φασιν, εὔροια βίου [a])·
173 τοιαῦτα μέν τινα εἰς τὴν ἔννοιαν τοῦ ἀγαθοῦ λέγεται. εἴτε δὲ
τὸ ὠφελοῦν εἴτε τὸ δι' ἑαυτὸ αἱρετὸν εἴτε τὸ συνεργοῦν πρὸς
εὐδαιμονίαν ἀγαθόν τις εἶναι λέγοι, οὐχὶ τί ἐστι τὸ ἀγαθὸν
παρίστησιν [b]), ἀλλά τι τῶν συμβεβηκότων αὐτῷ λέγει. ὅπερ ἐστὶ
μάταιον. ἤτοι γὰρ μόνῳ τῷ ἀγαθῷ συμβέβηκε τὰ προειρημένα
ἢ καὶ ἑτέροις. ἀλλ' εἰ μὲν καὶ ἑτέροις, οὐκ ἔστι χαρακτηριστικὰ
τοῦ ἀγαθοῦ κοινοποιούμενα· εἰ δὲ μόνῳ τῷ ἀγαθῷ, οὐκ ἐνδέ-
174 χεται ἡμᾶς ἀπὸ τούτων νοεῖν τὸ ἀγαθόν. ὡς γὰρ ὁ ἀνεννόητος
ἵππου [c]) οὔτε τὸ χρεμετίζειν τί ἐστιν οἶδεν οὔτε διὰ τούτου
δύναται εἰς ἔννοιαν ἐλθεῖν ἵππου, εἰ μὴ πρότερον ἵππῳ χρεμε-
τίζοντι ἐντύχοι, οὕτως ὁ διὰ τὸ μὴ εἰδέναι τὸ ἀγαθόν, ζητῶν
τί ἐστιν ἀγαθόν, οὐ δύναται γινώσκειν τὸ ἰδίως αὐτῷ καὶ μόνῳ
ὑπάρχον, ἵνα δι' αὐτοῦ τὸ ἀγαθὸν αὐτὸ νοῆσαι δυνηθῇ· πρό-
τερον γὰρ δεῖ μαθεῖν τὴν αὐτοῦ τοῦ ἀγαθοῦ φύσιν, εἶθ' οὕτω
συνεῖναι ὅτι ὠφελεῖ, καὶ ὅτι δι' αὐτὸ αἱρετόν ἐστι καὶ ὅτι εὐ-
175 δαιμονίας ποιητικόν. ὅτι δὲ τὰ προειρημένα συμβεβηκότα οὐκ
ἔστιν ἱκανὰ μηνῦσαι τὴν ἐπίνοιαν καὶ τὴν φύσιν τοῦ ἀγαθοῦ,
P 170 δηλοῦσιν ἔργῳ οἱ Δογματικοί. ὡς μὲν γὰρ ὠφελεῖ τὸ ἀγαθὸν
καὶ ὅτι αἱρετόν ἐστι, παρ' ὃ καὶ ἀγαθὸν εἴρηται τὸ οἱονεὶ ἀγω-
γὸν [d]) καὶ ὅτι εὐδαιμονίας ἐστὶ ποιητικόν, πάντες ἴσως συγχω-

addit. felicitas autem est, ut Stoici aiunt, quum res ad vitam pertinentes prospere nobis fluunt. talia quaedam ad boni notionem afferuntur. 173. sive autem quod utilitatem praebet sive quod per se appetendum est sive quod ad felicitatem adiuvat dicat aliquis esse bonum, non quid sit bonum ostendit, sed aliquod ex illius accidentibus dicit. quod certe ineptum est. nam aut soli bono accidunt supra dicta, aut aliis etiam. verum si aliis etiam, non accurate designant bonum, quum communia sint; sin bono soli, non possumus ex his notionem boni assequi. 174. ut enim qui equi notionem non assecutus est, ne hinnire quidem quid sit novit, neque per hoc ad notionem equi pervenire potest nisi prius in equum hinnientem inciderit; ita is qui quaerit quid sit bonum, eo quod ignoret quid sit bonum, quod illi proprie et soli inest, cognoscere nequit, ut per ipsum ad boni notionem et imaginationem venire possit; prius enim ipsam boni naturam discere oportet atque ita demum intelligere quid utilitatem afferat, et quid per se expetendum et felicitatis effectivum sit. 175. at supra dicta accidentia non sufficere ad notionem et naturam boni indicandam re ipsa ostendunt Dogmatici. nam bonum utilitatem afferre et expetendum esse, unde et dictum est *ἀγαθόν* quasi *ἀγωγόν* quod ducat ac pelliciat, et felicitatis esse effectivum, omnes quidem

---

a) *εὔροια βίου*] *beata vita secundo defluens cursu*, ut verbis utar Senecae epist. 120. vide Menagium ad Laërtii 7 88, nostrum libro adversus Ethicos, Gatakerum ad Marc. Antonini lib. 5 sect. 34.

b) *παρίστησιν*] ita recte mss pro *περίστησιν*.

c) *ὁ ἀνεννόητος ἵππου*] ita ex mss legendum. male editi: *ὁ ἀνεννόητος ἵππος*. idem argumentum repetit libro adversus Ethicos *τῷ μὴ γινώσκοντι τὸν ἵππον καὶ τὸ χρεμετίζειν ἀγνοεῖται.*

P 170 d) *ἀγαθὸν εἴρηται τὸ οἱονεὶ ἀγωγόν*] *παρὰ τὸ ἄγειν ἡμᾶς*, quod nos ducit allicitque. alii ut Plato et noster adversus Ethicos ab *ἄγασθαι* quod magni id aestimemus illoque delectemur, vel a *γαθεῖν* quod eo gaudeamus, vel ut Etymologus *παρὰ τὸ ἄγαν θέειν ἡμᾶς ἐπ' αὐτό*, quod valde illud sectemur et expetamus.

ροῦσιν, ἐρωτώμενοι δὲ τί ἐστιν ᾧ ταῦτα συμβέβηκεν[e]), εἰς ἄσπειστον[f]) ἐμπίπτουσι πόλεμον, οἱ μὲν ἀρετὴν λέγοντες[g]) οἱ δὲ ἡδονὴν[h]) οἱ δὲ ἀλυπίαν[i]) οἱ δὲ ἄλλο τι[k]). καίτοι εἰ ἐκ τῶν προειρημένων ὅρων ἐδείκνυτο τί ἐστι τὸ ἀγαθὸν αὐτό, οὐκ ἂν ἐστασίαζον, ὡς ἀγνοουμένης τῆς τούτου φύσεως. οὕτω μὲν οὖν διαφέρονται περὶ τῆς ἐννοίας τοῦ ἀγαθοῦ οἱ δοκιμώτατοι δοκοῦντες εἶναι τῶν Δογματικῶν. ὁμοίως δὲ διηνέχθησαν καὶ περὶ τοῦ 176
κακοῦ λέγοντες κακὸν εἶναι βλάβην[l]) ἢ οὐχ ἕτερον βλάβης, οἱ δὲ τὸ δι' ἑαυτὸ φευκτόν, οἱ δὲ τὸ κακοδαιμονίας ποιητικόν. δι' ὧν οὐχὶ τὴν οὐσίαν τοῦ κακοῦ, ἀλλά τινα τῶν συμβεβηκότων ἴσως αὐτῷ φάσκοντες εἰς τὴν προειρημένην ἐμπίπτουσιν ἀπορίαν.

ΚΕΦ. κβ'.

Περὶ ἀδιαφόρου[m]).

Τὸ δὲ ἀδιάφορόν[n]) φασι λέγεσθαι μὲν τριχῶς. καθ' ἕνα 177

fortasse concedunt; verum quum interrogantur quid sit illud cui haec accidunt, pertinaciter inter se digladiantur, dum alii virtutem esse dicunt alii voluptatem alii indolentiam alii aliquid aliud. atqui si ex supra dictis definitionibus quid esset bonum ipsum ostenderetur, inter se, tamquam non comperta huius natura, minime dissiderent. 176. sic ergo de boni notione dissentiunt qui summo inter Dogmaticos habentur in pretio. itidem vero et de malo controversati sunt malum dicentes esse noxam aut non aliud a noxa; alii quod per se sit fugiendum, alii infelicitatis effectivum. per quae non substantiam mali, sed aliquid eorum quae illi accidunt fortasse dicentes in supra dictam incidunt haesitationem.

CAP. XXII.

De indifferente.

177. Indifferens autem et neutrum trifariam dici aiunt, uno quidem modo,

---

e) τί ἐστιν ᾧ ταῦτα συμβέβηκεν] quid demum bonum ipsum sit, cui illud accidit quod utilitatem hominum beatitatemque vel promovet vel plane absolvit.

f) ἄσπειστον] ita lege pro ἄπιστον. ἄσπειστος πόλεμος i. e. ἄσπονδος. pertinacissima enim et acerrima inter philosophos fuit contentio quid esset bonum vel summum boni, de qua consulendus Cicero in libris de finibus. frequens est librariis ει et ι inter se permutare. sic infra cap. 23 Genevensis editio habet πειστευτέον pro πιστευτέον.

g) οἱ μὲν ἀρετὴν λέγοντες] ut Stoici.

h) οἱ δὲ ἡδονήν] ut Aristippus et Cyrenaici et omnis Epicuri schola.

i) οἱ δὲ ἀλυπίαν] ut Hieronymus Rhodius.

k) οἱ δὲ ἄλλο τι] ut Herillus scientiam.

l) κακὸν εἶναι βλάβην] definitio Stoica mali, opposita boni definitioni quae erat ἀγαθὸν εἶναι ὠφέλειαν ἢ οὐχ ἕτερον ὠφελείας. quod porro ait quosdam malum, quemadmodum bonum supra per se expetendum, statuisse per se fugiendum, alios vero infelicitatis per se fugiendae effectivum, huc facit quod Stoici haec genera bonorum malorumque distinguebant, quorum alia vocabant τελικά alia ποιητικά, de quo videndus Cicero 3 de finibus cap. 16 et Laërtius 7 95, 96.

m) περὶ ἀδιαφόρου] in mss Savil. et Vratislav. nullum hic novum caput incipit. ac si novum hic erat inchoandum, debebat etiam novum constituere sectio proxime praecedens quae est περὶ τοῦ κακοῦ. neque caetera omnia quae superiore capite 21 disputantur, contineri quis dixerit sub titulo qui illi est praefixus, ὅτι τὸ ἀγαθὸν τριχῶς λέγεται. sed

μὲν τρόπον πρὸς ὃ μήτε ὁρμὴ μήτε ἀφορμὴ γίνεται, οἷόν ἐστι τὸ ἀρτίους εἶναι τοὺς ἀστέρας ἢ τὰς ἐπὶ τῆς κεφαλῆς τρίχας [o]· καθ' ἕτερον δὲ πρὸς ὃ ὁρμὴ μὲν ἢ ἀφορμὴ γίνεται, οὐ μᾶλλον δὲ πρὸς τόδε ἢ τόδε, οἷον ἐπὶ δυοῖν τετραδράχμων ἀπαραλλάκτων, ὅταν δέῃ τὸ ἕτερον αὐτῶν αἱρεῖσθαι. ὁρμὴ μὲν γὰρ γίνεται πρὸς τὸ αἱρεῖσθαι τὸ ἕτερον αὐτῶν οὐ μᾶλλον πρὸς τόδε ἢ τόδε. κατὰ τρίτον δὲ τρόπον φασὶν ἀδιάφορον εἶναι τὸ μήτε πρὸς εὐδαιμονίαν [p] μήτε πρὸς κακοδαιμονίαν συμβαλλόμενον, ὡς ὑγίειαν πλοῦτον· ᾧ γάρ ἐστιν ὁτὲ μὲν εὖ ὁτὲ δὲ κακῶς
P 171 χρήσασθαι, τοῦτο ἀδιάφορον εἶναί φασι, περὶ οὗ μάλιστα ἐν
178 τοῖς ἠθικοῖς διαλαμβάνειν λέγουσιν. τίνα μέντοι καὶ περὶ ταύτης τῆς ἐννοίας δεῖ φρονεῖν, δῆλον καὶ ἐκ τῶν εἰρημένων ἡμῖν περί τε ἀγαθῶν καὶ κακῶν. οὕτω μὲν οὖν σαφές ἐστιν ὅτι οὐκ ἐπέστησαν ἡμᾶς τῇ ἐννοίᾳ τῶν προειρημένων ἑκάστου. οὐδὲν δὲ ἀπεικὸς πεπόνθασιν ἐν ἀνυποστάτοις τάχα πράγμασι σφαλλόμενοι· ὅτι γὰρ οὐδὲν τῇ φύσει ἐστὶν ἀγαθὸν ἢ κακὸν ἢ ἀδιάφορον, ἐντεῦθέν τινες ἐπιλογίζονται.

ΚΕΦ. κγ'.

Εἰ ἔστι τι φύσει ἀγαθὸν [q] καὶ κακὸν καὶ ἀδιάφορον.

179 Τὸ πῦρ φύσει ἀλεαῖνον [r] πᾶσι φαίνεται ἀλεαντικόν, καὶ ἡ

ad quod neque appetitu neque declinatione movetur animus, quale est parem numerum esse stellarum aut capitis pilorum. alio modo, ad quod appetione quidem aut declinatione movetur, sed non magis ad hoc quam illud, ut in duobus tetradrachmis nummis nullo modo diversis, cum eorum alterum eligere oportet. nam appetitio quidem fertur ad alterum eorum eligendum, sed non magis ad hoc quam illud. tertio modo indifferens aiunt esse quod neque ad felicitatem nec infelicitatem adiuvat, ut sanitatem divitias. nam quo possumus aliquando bene aliquando male uti, hoc indifferens esse aiunt, de quo maxime in ethicis disputare se dicunt. 178. quid vero et de hac notione sentiendum sit, ex iis quae de bonis et malis nobis dicta sunt constat. unde etiam patet ad intelligendum quodque supra dictorum nos neutiquam a Dogmaticis esse perductos. nihil tamen illis miri accidit, quod in rebus existentiam forte non habentibus lapsi sint. nam nihil natura esse bonum aut malum aut indifferens ex iis quae sequuntur argumentationibus aliqui colligunt.

CAP. XXIII.

An sit aliquid natura bonum et malum et indifferens.

179. Ignis natura calefaciens omnibus videtur calefactivus, et nix natura

---

ut alibi monui, divisio capitum non est ab ipso auctore Sexto, neque in omnibus codicibus eadem sed valde diversa.

n) τὸ ἀδιάφορον] *quod* Stoici, inquit Cicero 3 16 de finibus, ἀδιάφορον *dicunt, id mihi ita occurrit ut indifferens dicerem.* de generibus autem quae hinc exponit noster τῶν ἀδιαφόρων, videndus liber adversus Ethicos et ad illum locum dicta, Laërtius 7 102 seq. Stobaeus Eclog. Ethic. p. 172 seq. Suidas in ἀδιαφορία, Lipsius lib. 2 manuduct. diss. 23 et Scioppius in elementis philosophiae Stoicae p. 39 seq.

o) ἢ τὰς ἐπὶ τῆς κεφαλῆς τρίχας] Laërtius 7 104 ἄλλως δὲ λέγεται ἀδιάφορα, τὰ μήτε ὁρμῆς μήτε ἀφορμῆς κινητικά, ὡς ἔχει τὸ ἀρτίας ἔχειν ἐπὶ τῆς κεφαλῆς τρίχας ἢ περιττάς, ἢ ἐκτεῖναι τὸν δάκτυλον ἢ συστεῖλαι.

p) τὸ μήτε πρὸς εὐδαιμονίαν] quae nihil valerent ad beate misereque vivendum. Cicero 3 15 de finibus.

P 171 q) εἰ ἔστι τι φύσει ἀγαθόν] hic quoque in mss Savil. et Vratislav. nulla capitis distinctio, nullus titulus. de argumento ipso conferendus

χιὼν φύσει ψύχουσα πᾶσι φαίνεται ψυκτική, καὶ πάντα τὰ φύσει κινοῦντα ὁμοίως πάντας κινεῖ τοὺς κατὰ φύσιν ὥς φασιν ἔχοντας. οὐδὲν δὲ τῶν λεγομένων ἀγαθῶν πάντας κινεῖ ὡς ἀγαθόν, ὡς ὑπομνήσομεν· οὐκ ἄρα ἐστὶ φύσει ἀγαθόν. ὅτι δὲ οὐδὲν τῶν λεγομένων ἀγαθῶν πάντας ὁμοίως κινεῖ δῆλόν φασιν.
ἵνα γὰρ τοὺς ἰδιώτας παρῶμεν, ὧν οἱ μὲν εὐεξίαν σώματος 180
ἀγαθὸν εἶναι νομίζουσιν, οἱ δὲ τὸ λαγνεύειν, οἱ δὲ τὸ ἀδηφαγεῖν, οἱ δὲ οἰνοφλυγίαν, οἱ δὲ τὸ χρῆσθαι κύβοις, οἱ δὲ πλεονεξίαν, οἱ δὲ καὶ χείρω τινὰ τούτων αὐτῶν, τῶν φιλοσόφων τινὲς μὲν τρία γένη φασὶν εἶναι ἀγαθῶν[s]), ὡς οἱ Περιπατητικοί· τούτων γὰρ τὰ μὲν εἶναι περὶ ψυχὴν ὡς τὰς ἀρετάς, τὰ δὲ περὶ σῶμα ὡς ὑγίειαν καὶ τὰ ἐοικότα, τὰ δὲ ἐκτὸς ὡς φίλους πλοῦτον τὰ παραπλήσια. οἱ δὲ ἀπὸ τῆς Στοᾶς[t]) τριγένειαν μὲν καὶ 181
αὐτοί φασιν εἶναι ἀγαθῶν· τούτων γὰρ τὰ μὲν εἶναι περὶ ψυχὴν ὡς τὰς ἀρετάς, τὰ δὲ ἐκτὸς ὡς τὸν σπουδαῖον καὶ φίλον, τὰ δὲ οὔτε περὶ ψυχὴν οὔτε ἐκτός, οἷον τὸν σπουδαῖον ὡς πρὸς ἑαυτόν. τὰ μέντοι περὶ σῶμα ἢ ἐκτός, ἅ φασιν οἱ ἐκ τοῦ Περιπάτου ἀγαθὰ εἶναι, οὔ φασιν ἀγαθά. ἔνιοι δὲ τὴν ἡδονὴν

frigefaciens omnibus videtur refrigerativa, atque adeo omnia quae natura movent sive afficiunt eodem modo omnes movent qui quidem secundum naturam se habent, at nullum eorum quae bona vocantur omnes pariter movet, tamquam bonum, sicuti declarabimus; natura ergo non est bonum. nullum autem ex iis quae bona dicuntur, omnes movere eodem modo manifestum est. 180. nam ut rudem et imperitam multitudinem omittamus, ex qua alii firmum corporis habitum bonam rem esse censent, alii rebus venereis frui alii cibo alii vino se ingurgitare aliqui vero aleari aliqui plura possidere quam alii, nonnulli denique his etiam deteriora quaepiam, ipsorum philosophorum nonnulli tria genera bonorum esse dicunt, ex quibus sunt Peripatetici; horum enim alia esse circa animum ut virtutes, alia circa corpus ut sanitatem et similia, alia extra ut amicos opes et similia. 181. at Stoici tria quidem et ipsi bonorum genera esse censent; ex his enim alia esse circa animum ut virtutes, alia extra ut probum hominem et amicum, quaedam etiam nec circa nec extra animum veluti probum hominem ut quidem ad se ipsum. at quae sunt circa corpus aut extra, quae Peripatetici in bonis habent, illi bona esse negant. fuerunt etiam qui voluptatem ut bonum ample-

---

Pseudo-Clemens lib. 10 recognitionum c. 5 *est quidam sermo apud Graecorum philosophos vehemens valde* (φορτικὸς μάλα) *qui dicit in vita hominum re ipsa neque bonum esse aliquid neque malum* etc. εἰ ἔστι τι φύσει scripsi ex HStephani codice pro τῇ φύσει.

r) τὸ πῦρ φύσει ἀλεαῖνον] idem repetit libro 1 adversus Grammaticos sect. 147 et lib. 10. adversus Ethicos. adde Laërtium 9 101.

s) τρία γένη ἀγαθῶν] cum Peripateticis ita senserunt etiam Academici, ut testatur noster libro adversus Ethicos. eadem distinctio bonorum probata Pythagoricis ut constat ex fragmento libri Archytae de bono viro et beato apud Stobaeum: ὁ δὲ ἄνθρωπος οὐχ ἁ ψυχὰ μόνον, ἀλλὰ καὶ τὸ σῶμα. τὸ γὰρ ἐξ ἀμφοτέρων ζῷον, καὶ τὸ ἐκ τοιούτων ἄνθρωπος. καὶ γὰρ εἰ τᾶς ψυχᾶς ὄργανον τὸ σῶμα πέφυκεν, ἀλλὰ καὶ τῷ ἀνθρώπῳ μέρος καὶ τοῦτο καὶ ἁ ψυχά. διὸ καὶ τῶν ἀγαθῶν ἃ μὲν ἐντὶ ἀνθρώπω, ἃ δὲ τῶν μερέων. καὶ ἀνθρώπω μὲν ἀγαθὸν εὐδαιμοσύνα· τῶν δὲ μερέων τῶ ἀνθρώπω, ψυχᾶς μὲν φρόνασις, ἀνδρεία, δικαιοσύνα, σωφροσύνα. σώματος δὲ κάλλος ὑγίεια, εὐεξία, εὐαισθασία. τὰ δὲ ἐκτὸς πλοῦτος καὶ δόξα καὶ τιμὰ καὶ εὐγένεια πέφυκεν ἐπιγέννημα ἦμεν τῷ ἀνθρώπῳ καὶ ἀκόλουθα φύσει προϋφεστακόσιν ἀγαθοῖς.

t) οἱ δὲ ἀπὸ Στοᾶς] confer quae ad librum adversus Ethicos.

P 172 ἠσπάσαντο ὡς ἀγαθόν, τινὲς δὲ κακὸν αὐτὴν ἀντικρὺς u) εἶναί
φασιν. ὥστε καί τινα τῶν ἐκ φιλοσοφίας ἀναφθέγξασθαι "μανείην
182 μᾶλλον ἢ ἡσθείην". εἰ τοίνυν τὰ μὲν φύσει κινοῦντα πάντας
ὁμοίως κινεῖ, ἐπὶ δὲ τοῖς λεγομένοις ἀγαθοῖς οὐ πάντες ὁμοίως
κινούμεθα, οὐδέν ἐστι φύσει ἀγαθόν· καὶ γὰρ οὔτε πάσαις ταῖς
προεκκειμέναις στάσεσι x) πιστεύειν ἐνδέχεται διὰ τὴν μάχην οὔτε
τινί. ὁ γὰρ λέγων ὅτι τῇδε μὲν πιστευτέον τῇ στάσει τῇ δὲ
οὐδαμῶς, ἐναντιουμένους τοὺς παρὰ τῶν ἀντιδοξούντων y) λό-
γους αὐτῷ ἔχων, μέρος γίνεται διαφωνίας, καὶ τοῦ κρινοῦντος
αὐτὸς δεήσεται· διὰ τοῦτο μετὰ τῶν ἄλλων ἀλλ᾽ οὐχ ἑτέρους
κρινεῖ. μήτε οὖν κριτηρίου z) ὄντος ὁμολογουμένου μήτε ἀπο-
δείξεως διὰ τὴν ἀνεπίκριτον καὶ περὶ τούτων διαφωνίαν, εἰς τὴν
ἐποχὴν καταντήσει. καὶ διὰ τοῦτο οὐχ ἕξει διαβεβαιοῦσθαι τί
183 ἐστι τὸ φύσει ἀγαθόν. ἔτι κἀκεῖνο λέγουσί τινες, ὅτι ἀγαθόν
ἐστιν ἤτοι τὸ αἱρεῖσθαι αὐτὸ a) ἢ ἐκεῖνο ὃ αἱρούμεθα. τὸ μὲν
οὖν αἱρεῖσθαι οὐκ ἔστιν ἀγαθὸν κατὰ τὸν ἴδιον λόγον· οὐ γὰρ
ἂν ἐσπεύδομεν τυχεῖν ἐκείνου ὃ αἱρούμεθα, ἵνα μὴ ἐκπέσωμεν
τοῦ ἔτι αὐτὸ αἱρεῖσθαι· οἷον, εἰ ἀγαθὸν ἦν τὸ ἀντιποιεῖσθαι
ποτοῦ, οὐκ ἂν ἐσπεύδομεν ποτοῦ τυχεῖν· ἀπολαύσαντες γὰρ
τούτου τῆς ἀντιποιήσεως αὐτοῦ ἀπαλλαττόμεθα. καὶ ἐπὶ τοῦ
πεινῆν b) ὁμοίως καὶ ἐπὶ τοῦ ἐρᾶν καὶ τῶν ἄλλων. οὐκ ἄρα τὸ

xarentur, quum alii ipsam in malis plane numerent, adeo ut ex philosophis quidam exclamaverit, "insanire mihi potius contingat quam voluptate frui". 182. si ergo ea quidem quae natura movent, omnes eodem movent et afficiunt modo, at vero ad ea quae bona dicuntur non omnes itidem movemur, nihil est natura bonum. etenim neque omnibus diversarum sectarum opinionibus ante expositis fidem habere possumus propter discordiam, neque alicui. nam qui huic quidem sectae credendum esse, illi autem minime dicit, quum habeat sibi adversantes rationes eorum qui contra sentiunt, pars fit controversiae et diiudicatore ipsemet ideo egebit cum aliis, ac non alios iudicabit. at quum nec criterium sive veri falsique regula sit de qua constet, nec demonstratio ob indiiudicabilem controversiam quae de his etiam est ad assensionis suspensionem deveniet, et propterea quid natura sit bonum affirmare non poterit. 183 illud praeterea dicunt nonnulli: bonum est aut expetitio illius aut illud ipsum quod expetimus. atque expetitio quidem per se bona non est: neque enim studeremus assequi illud quod appetimus, ne, postquam consecuti essemus, facultate ipsum rursus appetendi excideremus. verbi gratia, si bonum esset expetere potum, potum adipisci non studeremus. postquam enim fruitionem eius habuimus, ipsum appetere desinimus: et in esuritione itidem atque in amore et in aliis. ergo ipsum appetere per se appe-

P 172 u) *κακὸν αὐτὴν ἄντικρυς*] ut Cynici, e quibus Antisthenes fuit auctor dicti quod mox affert *insania potius quam voluptate afficiar*, memoratum etiam Gellio 9 5, Laërtio 6 3 et nostro adversus Ethicos, Theodorito lib. 12 Therapeut. atque aliis. eiusdem Antisthenis fuit illud: *ἐχθρῶν παῖδες τρυφήσειαν*. praeter Cynicos voluptatem pro malo habuit vetus Academia et Critolaus Peripateticus apud Gellium loco iam laudato.

x) *στάσεσι*] ita sectas vocat philosophorum invicem inter se dissidentes, ut in libris adversus Mathematicos.

y) *τοὺς παρὰ τῶν ἀντιδοξούντων*] ita mss pro *παρ᾽ αὐτῶν*.

z) *μήτε οὖν κριτηρίου*] semper provocat ad illa quae adversus criteria veritatis et demonstrationem disputavit supra lib. 2 sect. 18 et 134 seq.

a) *ἤτοι τὸ αἱρεῖσθαι αὐτό*] idem argumentum libro adversus Ethicos.

b) *καὶ ἐπὶ τοῦ πεινῆν*] ita legendum e mss et interprete, pro *πίνειν* quod habebant editi.

αἱρεῖσθαι δι' αὐτὸ αἱρετόν ἐστι, εἰ μή γε καὶ ὀχληρόν· καὶ γὰρ ὁ πεινῶν σπεύδει μετασχεῖν τροφῆς, ὅπως ἀπαλλαγῇ τῆς ἐκ τοῦ πεινῆν ὀχλήσεως· καὶ ὁ ἐρῶν ὁμοίως καὶ ὁ διψῶν. ἀλλ' οὐδὲ 184 τὸ αἱρετόν ἐστι τὸ ἀγαθόν· τοῦτο γὰρ ἤτοι ἔξωθέν ἐστιν ἡμῶν ἢ περὶ ἡμᾶς. ἀλλ' εἰ μὲν ἔξωθεν ἡμῶν, ἤτοι ποιεῖ περὶ ἡμᾶς ἀστείαν κίνησιν καὶ ἀπόδεκτον κατάστημα καὶ ἀγαστὸν πάθος, ἢ οὐδαμῶς ἡμᾶς διατίθησι. καὶ εἰ μὲν οὐκ ἔστιν ἡμῖν ἀγαστόν, οὔτε ἀγαθὸν ἔσται c) οὔτε ἐπάξεται ἡμᾶς πρὸς τὸ αἱρεῖσθαι αὐτὸ οὔτε ὅλως αἱρετὸν ἔσται· εἰ δὲ ἐγγίνεταί τι περὶ ἡμᾶς ἀπὸ τοῦ ἐκτὸς προσηνὲς κατάστημα καὶ ἀσμενιστὸν πάθος, οὐχὶ P 173 δι' αὐτὸ αἱρετὸν ἔσται τὸ ἐκτός, ἀλλὰ διὰ τὴν περὶ ἡμᾶς ἐπ' αὐτῷ γινομένην διάθεσιν· ὥστε οὐ δύναται τὸ δι' αὐτὸ αἱρετὸν ἐκτὸς εἶναι· ἀλλ' οὐδὲ περὶ ἡμᾶς. ἤτοι γὰρ περὶ σῶμα d) 185 εἶναι λέγεται μόνον ἢ περὶ ψυχὴν μόνην ἢ περὶ ἀμφότερα. ἀλλ' εἰ μὲν περὶ σῶμα μόνον, ἐκφεύξεται τὴν γνῶσιν ἡμῶν· ψυχῆς γὰρ αἱ γνώσεις εἶναι λέγονται, τὸ δὲ σῶμα ἄλογον εἶναί φασιν ὅσον ἐφ' ἑαυτό. εἰ δὲ καὶ μέχρι τῆς ψυχῆς διατείνειν λέγοιτο, τῇ τῆς ψυχῆς ἀντιλήψει καὶ τῷ ταύτης ἀγαστῷ πάθει δοκοίη ἂν αἱρετὸν εἶναι· τὸ γὰρ κρινόμενον ὡς αἱρετὸν τῇ διανοίᾳ κρίνεται κατὰ αὐτούς, καὶ οὐκ ἀλόγῳ σώματι. λείπεται λέγειν ὅτι 186 περὶ ψυχὴν μόνην τὸ ἀγαθόν ἐστι. καὶ τοῦτο δέ, ἐξ ὧν οἱ Δογματικοὶ λέγουσιν, ἀδύνατόν ἐστιν· ἡ γὰρ ψυχὴ τάχα μὲν καὶ ἀνύπαρκτός e) ἐστιν· εἰ δὲ καὶ ὑπάρχει, ὅσον ἐφ' οἷς λέ-

tendis res non est, atque haud scio an molesta. nam qui esurit studet consequi cibum, ut liberetur esuriendi molestia; et qui amore captus est itidem et qui sitit. 184. iam vero ne id quidem quod expetitur est ipsum bonum; nam hoc aut extra nos est aut est in nobis. sed si quidem extra nos, aut efficit in nobis iucundum quendam motum et talem constitutionem quam lubenter acceptemus, atque adeo ἀγαστὸν πάθος seu affectionem gratam ac delectabilem, aut nullo modo nos afficit. et si quidem non est nobis ἀγαστόν sive delectabile, ne ἀγαθόν quidem sive bonum erit, nec nos incitabit ad se appetendum, nec ullo modo appetendum erit. quodsi ingeneratur in nobis ab extraneo suavis constitutio et passio quaedam huiusmodi quam libenter amplexemur, non propter se appetendum erit quod extraneum est, sed propter affectionem quae ob ipsum in nobis fit. 185. quod igitur per se expetendum est, non potest extraneum esse. sed neque in nobis; aut enim in corpore solum aut in animo solum aut in utroque esse dicitur. verum si quidem in corpore solum, ad cognitionem nostram non perveniet; nam cognitiones animo tribuuntur, at corpus irrationale esse aiunt, quantum in se ipso. quodsi etiam usque ad animum pertingere dicatur, animi perceptioni et affectioni quae ipsi grata sit videbitur appetendum esse. nam quod expetendum iudicatur, mente iudicatur iuxta eos, non autem irrationali corpore. 186. superest ergo ut dicamus bonum esse circa animum solum. sed hoc quoque secundum ea quae Dogmatici dicunt, impossibile est. nam fortasse quidem nec ipse existit animus: quodsi etiam existit, quantum quidem ad ea quae

c) εἰ οὐκ ἀγαστόν, οὔτε ἀγαθὸν ἔσται] Platoni in Cratylo ἀγαθόν dictum videtur παρὰ τὸ ἄγασθαι, quod placet etiam nostro adversus Ethicos. confer supra sect. 175.

d) περὶ σῶμα] ita mss pro σώματα quod erat in editis, et mox περὶ P 173 ἀμφότερα pro ἀμφοτέρου. argumentum idem habes laudato libri adversus Ethicos loco.

e) τάχα μὲν ἀνύπαρκτος] vide quae disputata supra lib. 2 sect. 31 seq.,

γουσιν οὐ καταλαμβάνεται, καθὼς ἐπελογισάμην ἐν τῷ περὶ κριτηρίου λόγῳ. πῶς δ' ἂν θαρρείη τις ἐν ἐκείνῳ τι γίνεσθαι λέ-
187 γειν, ὃ μὴ καταλαμβάνει; ἵνα δὲ καὶ ταῦτα παραλίπωμεν, πῶς ἄρα καὶ λέγουσιν ἐν τῇ ψυχῇ τὸ ἀγαθὸν γίνεσθαι; εἰ γοῦν ὁ Ἐπίκουρος ἐν ἡδονῇ τίθεται τὸ τέλος καί φησι τὴν ψυχὴν (ἐπεὶ καὶ πάντα) ἐξ ἀτόμων[f]) συνεστάναι, πῶς ἐν ἀτόμων σωρῷ δυνατὸν ἡδονὴν[g]) γίγνεσθαι καὶ συγκατάθεσιν ἢ κρίσιν, τοῦ τόδε μὲν αἱρετὸν εἶναι καὶ ἀγαθὸν τόδε δὲ φευκτὸν καὶ κακὸν ἀμήχανον εἰπεῖν.

ΚΕΦ. κδ'.

Τί ἐστιν ἡ λεγομένη[h]) τέχνη περὶ βίον.

188 Πάλιν οἱ Στωϊκοὶ[i]) περὶ ψυχὴν ἀγαθά φασιν εἶναι τέχνας

dicunt, non comprehenditur, quemadmodum ratiocinando collegi, quum de criterio verba facerem. quomodo autem quispiam dicere ausit aliquid in illo fieri quod nón comprehendit? 187. ut tamen haec quoque silentio praetereamus, quomodo etiam dicunt in animo bonum esse? nam si Epicurus finem constituit voluptatem et dicit animum (quia et omnia) ex atomis constare, quomodo in atomorum acervo voluptas esse possit et assensus aut vis iudicandi hoc quidem appetendum esse et bonum, illud vero fugiendum esse et malum? id quidem certe nemo dicere queat.

CAP. XXIV.

Quae sit ea quae dicitur ars circa vitam.

188. Rursum Stoici bona animi dicunt esse artes quasdam, virtutes, ar-

---

ad quem ipsum locum remittit lectorem noster, quando mox τὸν περὶ κριτηρίου λόγον commemorat.

f) τὴν ψυχὴν ἐξ ἀτόμων] dogma Epicuri animum constare ex *corporibus parvis et laevibus atque rotundis* ut verbis utar Lucretii 3 206, qui multus est in illa opinione explicanda et persuadenda. videndus etiam Gassendus in Physiologia Gargettii illius philosophi t. 1 p. 260 seq. ad haec Epicuri apud Laërtium 10 63: ἡ ψυχὴ σῶμά ἐστι λεπτομερὲς παρ' ὅλον τὸ ἄθροισμα παρεσπαρμένον.

g) πῶς ἐν ἀτόμων σωρῷ δυνατὸν ἡδονήν] argumentum hoc validum adversus Epicuri sententiam qui animum ex atomis constare docuit. quis enim potest intelligere quomodo atomorum acervus, quae singulae sensu destitutae sunt, possit voluptate tangi vel dolore, nedum assentiri vel refragari, aut de rebus ferre iudicium et hanc eligere alteram vero repudiare. itaque et Galenus libro de constitutione artis medicae t. 1 edit. Basil. p. 37 et lib. 1 de elementis p. 49 negat in corpusculis inalterabilibus (qualia atomos supposuit Epicurus) esse posse μήτε ἡδονὴν μήτε πόνον, ἀλλὰ μηδ' αἴσθησιν ὅλως, οὐδὲ μνήμην ἤπουθεν οὐδὲ ἀνάμνησιν οὐδὲ φαντασίαν. longe minus potest intelligi quomodo tanta atomorum congeries nullo alio nisi contactus si forte unita nexu, possit affici eodem voluptatis dolorisve sensu unicoque ac communi, velle ac sentire unum, iudicare ac persuaderi.

h) τί ἐστιν ἡ λεγομένη] titulus hic et divisio capitis parum apte hoc loco inseritur; nam institutum Sexti est ostendere quod nec animus hominis bono afficitur, quae est altera pars argumenti quod in praecedentibus sectionibus 185 seq. tractavit, unde conclusio sequitur sect. 190.

i) πάλιν οἱ Στωϊκοί] articulum οἱ e mss revocavi. ad ipsum autem Stoicorum dogma pertinet quod virtutem docuere esse διδακτήν, ut est apud Laërtium 7 91 et prudentiam fortitudinem iustitiam magnanimitatem scientias definierunt, id. 92 seq.

τινὰς τὰς ἀρετάς· τέχνην δὲ εἶναί φασι[k]) σύστημα ἐκ καταλή-
ψεων συγγεγυμνασμένων, τὰς δὲ καταλήψεις γίγνεσθαι περὶ τὸ P 174
ἡγεμονικόν. πῶς οὖν ἐν τῷ ἡγεμονικῷ, πνεύματι κατ᾽ αὐτοὺς[l])
ὑπάρχοντι, ἐναπόθεσις γίνεται καταλήψεων καὶ ἀθροισμὸς το-
σούτων ὡς γενέσθαι τέχνην, οὐχ οἷόν τε ἐννοῆσαι, τῆς ἐπιγινο-
μένης[m]) τυπώσεως ἀεὶ τὴν πρὸ αὐτῆς ἀπαλειφούσης, ἐπεὶ χυτόν
τέ ἐστι τὸ πνεῦμα[n]) καὶ ἐξ ὅλου κινεῖσθαι λέγεται καθ᾽ ἑκάστην
τύπωσιν· τὸ γὰρ τὴν Πλάτωνος ἀνειδωλοποίησιν[o]) λέγειν ἐπι- 189
δεικτικὴν εἶναι δύνασθαι τοῦ ἀγαθοῦ, φημὶ δὲ τὴν κρᾶσιν τῆς
ἀμερίστου καὶ μεριστῆς οὐσίας καὶ τῆς θατέρου φύσεως καὶ
ταυτοῦ, ἢ τοὺς ἀριθμούς[p]), τέλεον ληρῶδές ἐστιν. ὅθεν οὐδὲ

tem autem esse dicunt, quae constat ex comprehensionibus coexercitatis; comprehensiones vero fieri in principatu mentis. quomodo igitur in mentis principatu, quae quidem secundum ipsos spiraculum est, recondantur comprehensiones et coacerventur tot ut fiat ars, intellectu percipi non potest, quum posterior deformatio priorem deleat, quia et spiraculum fusum fluxumque est et ex toto moveri dicitur secundum quamque deformationem. 189. nam dicere Platonis vim imagines faciendi esse posse boni demonstrativam, illud videlicet indivisibilis et divisibilis substantiae et naturae alterius atque eiusdem temperamentum, aut numeros, merae nugae sunt. unde nec in animo

---

k) *τέχνην — φασι*] eadem artis definitio exstat infra sect. 241 et 251
et libro adversus Rhetoras sect. 10. vide etiam sis librum adversus Ethi- P 174
cos. in scholiis ineditis ad Dionysium Thracem haec definitio Stoicis tributur: *σύστημα ἐκ καταλήψεων ἐμπειρίᾳ συγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ.* Zenoni ars est *ἕξις ὁδοποιητική* sive *δι᾽ ὁδοῦ καὶ μεθόδου ποιοῦσά τι.* Epicureis: *μέθοδος ἐνεργοῦσα τὸ εὖ καὶ τὸ συμφέρον.* Aristoteli: *ἕξις ὁδοῦ τοῦ συμφέροντος ποιητική. ἕξις δέ ἐστι πρᾶγμα μόνιμον καὶ δυσκατάληπτον.* [cf. Luc. Parasit. 4 init.]

l) *ἐν τῷ ἡγεμονικῷ, πνεύματι κατ᾽ αὐτούς*] Tertullianus libro de anima cap. 5 *sed etiam Stoicos allego, qui spiritum praedicantes animam, paene nobiscum, qua proxima inter se flatus et spiritus, tamen corpus animam facile persuadebunt.* confer Lipsium physiologiae Stoicae lib. 3 diss. 9, nostrum supra lib. 2 sect. 70.

m) *τῆς ἐπιγινομένης*] ita mss pro *ἐπιγιγνομένης.* de eo autem quod ideae in mente existentes a novarum supervenientium *τυπώσει* sive impressione debeant expungi, dictum eodem loco lib. 2 sect. 70 et lib. 1 adversus Logicos.

n) *χυτόν τέ ἐστι τὸ πνεῦμα*] ita omnino legendum e ms Vratislav. pro *τυχόν* quod in editis erat et interpres quoque HStephanus in suo codice repperit.

o) *τὴν Πλάτωνος ἀνειδωλοποίησιν*] nota est ex Platonis Sophista facultas in mente *εἰδωλοποιητική*, cuius duo genera facit *εἰκαστικήν* et *φανταστικήν. ἀμέριστος οὐσία* et *ταυτό* unum idemque Platoni denotat, nimirum *τὸ ὄν*, quod vere est essentiamque habet stabilem ac perennem, cui opponitur *θάτερον* et *οὐσία μεριστή*, fluxa et mutabilis materies. ex utraque autem constare animam existimavit Plato, quatenus ad intelligibilia illa se attolit et ad externa sensibusque obnoxia porrigitur. *εἰδωλοποίησιν* habes supra 2 222.

p) *ἢ τοὺς ἀριθμούς*] doctrina haec Pythagorae, cui virtutes et artes et anima ipsa numerus erant. Aristoteles Metaphys. 1 c. 5 causam reddit cur pro numeris haec Pythagorici venditaverint, quod nimirum mathematicis disciplinis innutriti similitudinem quandam in numeris rerum ut sunt atque generantur observarint expressiorem quam in elementis: *ἐν δὲ τοῖς ἀριθμοῖς ἐδόκουν θεωρεῖν ὁμοιώματα πολλὰ τοῖς οὖσι καὶ γιγνομένοις μᾶλλον ἢ ἐν πυρὶ καὶ γῇ καὶ ὕδατι. ὅτι τὸ μὲν τοιονδὶ τῶν*

190 περὶ ψυχὴν εἶναι δύναται τὸ ἀγαθόν. εἰ δὲ μήτε τὸ αἱρεῖσθαι
αὐτὸ ἀγαθόν ἐστι, μήτε ἐκτὸς ὑπόκειται τὸ δι' αὑτὸ αἱρετὸν
μήτε περὶ σῶμά ἐστι μήτε περὶ ψυχήν, ὡς ἐπελογισάμην, οὐδὲ
ὅλως ἐστί τι φύσει ἀγαθόν. διὰ δὲ τὰ προειρημένα οὐδὲ κακόν
τί ἐστι φύσει· τὰ γὰρ ἑτέροις δοκοῦντα εἶναι κακὰ ταῦτα ἕτεροι
διώκουσιν ὡς ἀγαθά, οἷον ἀσέλγειαν ἀδικίαν φιλαργυρίαν ἀκρα-
σίαν τὰ ἐοικότα. ὅθεν εἰ τὰ μὲν φύσει πάντας ὁμοίως πέφυκε
κινεῖν, τὰ δὲ λεγόμενα εἶναι κακὰ οὐ πάντας ὁμοίως κινεῖ, οὐ-
191 δέν ἐστι φύσει κακόν. ὁμοίως δὲ οὐδ' ἀδιάφορόν ἐστι q) τῇ φύ-
σει διὰ τὴν περὶ τῶν ἀδιαφόρων διαφωνίαν. οἷον γοῦν οἱ μὲν
Στωϊκοὶ τῶν ἀδιαφόρων φασὶ τὰ μὲν προηγμένα r) εἶναι, τὰ δὲ
ἀποπροηγμένα, τὰ δὲ οὔτε προηγμένα οὔτε ἀποπροηγμένα·
προηγμένα μὲν τὰ ἱκανὴν ἀξίαν ἔχοντα ὡς ὑγίειαν πλοῦτον,
P 175 ἀποπροηγμένα δὲ τὰ μὴ ἱκανὴν ἔχοντα ἀξίαν, ὡς πενίαν νόσον,
μήτε δὲ προηγμένα μήτε ἀποπροηγμένα, ὡς τὸ ἐκτεῖναι ἢ συγκάμ-
192 ψαι τὸν δάκτυλον. τινὲς δὲ οὐδὲν τῶν ἀδιαφόρων φύσει προ-
ηγμένον ἢ ἀποπροηγμένον εἶναι λέγουσιν· ἕκαστον γὰρ τῶν ἀδια-
φόρων παρὰ τὰς διαφόρους περιστάσεις ὁτὲ μὲν προηγμένον
φαίνεσθαι, ὁτὲ δὲ ἀποπροηγμένον. εἰ γοῦν, φασί, οἱ μὲν πλού-
σιοι ἐπιβουλεύοιντο ὑπὸ τυράννου οἱ δὲ πένητες εἰρηνεύοιντο,

bonum esse potest. 190. quodsi neque expetere ipsum bonum est, nec extrinsecus subiectum est quod per se appetendum sit, nec in corpore sit nec in animo, ut ratiocinando collegi, nihil quicquam natura bonum et propter supra dicta, ne malum quidem est natura quicquam: nam quae aliis videntur esse mala his dediti sunt alii tamquam bonis, ut petulantiae iniustitiae avaritiae intemperantiae aliisque huiusmodi. unde si iis quidem quae natura bona sunt hoc innatum est, ut omnes eodem modo moveant, at quae dicuntur mala esse non movent uno omnes modo, nihil est natura malum. 191. iam vero ne indifferens quidem natura est quicquam propter eam quae de differentibus est controversiam: nam, ut exemplo utar, Stoici quidem ex indifferentibus alia aiunt producta esse alia reiecta, quaedam etiam neque producta neque reiecta, et producta quidem ea esse, quae sufficientem habent dignitatem, ut sanitatem divitias, reiecta autem, quae non habent sufficientem dignitatem, ut paupertatem morbum, neque producta neque reiecta, quale est extendere aut contrahere digitum. 192. aliqui vero nihil ex indifferentibus productum sive praelatum vel reiectum esse aiunt; unumquodque enim indifferentium pro variis circumstantiis interdum productum videri interdum reiectum. nam si, ut inquiunt, divitibus quidem tyrannus insidietur,

---

ἀριθμῶν πάθος δικαιοσύνη, τὸ δὲ τοιονδὶ ψυχὴ καὶ νοῦς. ἕτερον δὲ καιρός, καὶ τῶν ἄλλων ὡς εἰπεῖν ἕκαστον ὁμοίως. haec Pythagoricorum doctrina plenius exposita exstat in Theologumenis Arithmeticae, quam cum versione mea et notis in lucem edere animus est, si vitam ac vires largitum fuerit benignissimum numen: iuvabit etiam evolvere Denarium Pythagoricum Ioannis Meursii, quem tomo nono thesauri Antiquitatum Graecarum recudendum dedit v. cl. Iacobus Gronovius, Samuelis item Tennulii notas ad Iamblichum in Nicomachi Geraseni Arithmeticen p. 103.

q) *οὐδ' ἀδιάφορόν ἐστι*] ita legendum e mss et mox *ἀδιαφόρων* pro *διάφορον* et *διαφόρων* quod perperam in editis sese offerebat.

r) *τὰ μὲν προηγμένα*] *commoda vocentur*, inquit Seneca epist. 74 et *ut nostra lingua loquar, producta.* de hac *ἀδιαφόρων* Stoica distinctione conferendi Cicero 3 15 seq. et 4 9 et 16 de finibus, Gellius 12 5, Laërtius 7 105, Stobaeus Eclog. Ethic. p. 173 seq. noster libro adversus Ethicos Suidas in *ἀδιαφορία*. e recentioribus Lipsius manuduct. lib. 2 diss. 23.

πᾶς ἂν ἕλοιτο εἶναι πένης μᾶλλον ἢ πλούσιος, ὡς ἀποπροηγμένον γίνεσθαι τὸν πλοῦτον. ὥστε ἐπεὶ ἕκαστον τῶν λεγομένων 193
ἀδιαφόρων οἱ μὲν ἀγαθὸν εἶναί φασιν οἱ δὲ κακόν, ἅπαντες δ᾽ ἂν ὁμοίως ἀδιάφορον αὐτὸ ἐνόμιζον εἶναι, εἴ γε ἀδιάφορον ἦν φύσει· οὐδὲν ἔστι φύσει ἀδιάφορον· οὕτως καὶ εἴ τις φύσει αἱρετὴν εἶναι λέγοι τὴν ἀνδρείαν διὰ τὸ τοὺς λέοντας φυσικῶς τολμᾶν ἐπὶ τὸ ἀνδρίζεσθαι δοκεῖν καὶ ταύρους, εἰ τύχοι, καὶ ἀνθρώπους τινὰς καὶ ἀλεκτρυόνας[s]), λέγομεν ὅτι ὅσον ἐπὶ τούτῳ καὶ ἡ δειλία τῶν φύσει αἱρετῶν ἐστιν, ἐπεὶ ἔλαφοι καὶ λαγωοὶ καὶ ἄλλα πλείονα ζῶα φυσικῶς ἐπὶ αὐτὴν ὁρμᾷ, καὶ οἱ πλεῖστοι δὲ τῶν ἀνθρώπων δειλοὶ θεωροῦνται· σπανίως μὲν γάρ τις ὑπὲρ πατρίδος ἑαυτὸν ἐπέδωκεν εἰς θάνατον βλακευσάμενος, ἢ ἄλλως θερμόν τι τυφωθεὶς ἔδοξέ τις διαπράττεσθαι· ὁ δὲ πλεῖστος
ὅμιλος τῶν ἀνθρώπων πάντα τὰ τοιαῦτα ἐκκλίνει. ὅθεν καὶ οἱ 194
Ἐπικούρειοι δεικνύναι νομίζουσι φύσει αἱρετὴν εἶναι τὴν ἡδονήν· τὰ γὰρ ζῷά φασιν ἅμα τῷ γενέσθαι ἀδιάστροφα ὄντα[t]) ὁρμᾶν
μὲν ἐπὶ τὴν ἡδονήν, ἐκκλίνειν δὲ ἀλγηδόνας· καὶ πρὸς τούτους[u]) 195
δέ ἐστι λέγειν ὅτι τὸ ποιητικὸν κακοῦ οὐκ ἂν εἴη φύσει ἀγαθόν.

pauperes autem tranquille et in pace degant, nemo non pauper esse malit quam dives, adeo ut tum divitiae censeantur in numero reiectorum. 193. itaque cum unumquodque eorum quae dicuntur indifferentia alii bonum esse dicant alii malum, at omnes pariter indifferens ipsum esse existimarent, si indifferens natura esset, nihil est natura indifferens. sic etiam si quis natura appetendam esse dicat fortitudinem, quod leones natura ad fortitudinis studium tendant et tauri etiam nec non aliqui homines atque adeo ipsi galli gallinacei, dicimus fore quantum ad hoc attinet ut timiditas quoque inter ea quae natura sunt expetenda censeatur, quia cervi et lepores et alia complura animalia naturali impulsu ad ipsam feruntur. imo et bona pars hominum timida esse comperitur; raro enim usu venit ut quis pro patria se ipsum morti exponat, utpote quadam animi mollitie retentus, aut ut quis quadam animi elatione ductus audax aliquod facinus aggrediatur. quin potius hominum bona pars haec omnia vitat. 194. unde et Epicurei se ostendere putant natura appetendam esse voluptatem; animalia enim simulatque nata sunt, quum adhuc depravata non sint, contendere recta ad voluptatem fugere autem dolores aiunt. 195. sed enim his quoque responderi queat, quod mali est effectivum nequaquam esse posse natura bonum; at voluptatem malorum effe-

---

s) καὶ ἀλεκτρυόνας] vide Ulyssem Aldrovandum libro 14 Ornithologiae P 175
p. 113 et Petrum Francium in disertissima de laude galli gallinacei oratione. Eutecnius in paraphrasi Oppiani ἰξευτικῶν p. 28 ὑπὲρ πάντα τὰ πτηνὰ τοὺς ἀλεκτρυόνας πολλαῖς ἴσμεν χαίροντας μάχαις.

t) ἀδιάστροφα ὄντα] Cicero vertit *non depravata*, cuius locum adscribam ex 1 de finibus cap. 9 *Epicurus summum bonum voluptatem esse vult summumque malum dolorem, idque instituit docere sic: omne animal simulatque natum sit voluptatem appetere eaque gaudere ut summo bono, dolorem adspernari ut summum malum et quantum possit a se repellere, idque facere nondum depravatum* (institutione vel assuetudine) *ipsa natura incorrupte atque integre iudicante.* idem lib. 3 Tusculan. c. 1 *nunc parvulos nobis natura dedit igniculos, quos celeriter malis moribus opinionibusque depravati sic restinguimus, ut nusquam naturae lumen appareat.*

